Τὴν σὴν κατὰ τὴν Εὐρώπην καὶ τὰς ἐκεῖ χώρας καὶ πόλεις περιήγησιν μηδὲν πλέον τεθαύμακα, ἢ τὴν ἐκεῖθεν ἐπάνοδον μετὰ πολλῆς μὲν προκοπῆς καὶ ἐπιδόσεως, δίχα δέ τινος πκρανοθεύσεως καὶ παραχαράξεως οὔτε τοῦ τρόπου, οὔτε τοῦ φρονήματος. Τοῖς γὰρ τὴν τοιαύτην ἀποδημίαν καὶ περινόστησιν ἑλομένοις μέγα τι πρόσεστι κέρδος, ὅσον γε ἐστι τὸ πολλῶν ἄστεα καὶ νόον γνῶναι, καὶ τοῦτο τὸ μέρος τῆς εἰδήσεως, ὡς γε κατ' ἐμὲ, μηδὲν ἀπολείπεται τῶν ἄλλων ἐπιστημῶν, ὅσαι τὴν τοῦ παντὸς θεωρίαν ἐκπληροῦσι· πολλὴ δέ τις ἔσθ' ὅτε ζημία γίνεται τῶν πατρῴων ἠθῶν, ἃ καὶ μάλιστα φαιδρύνει τὸ ἡμέτερον γένος· ὃ καὶ πολλάκις ἐθρήνησα καὶ κατεπένθησα, ὡς οἱ παρ' ἡμῖν εἰς ἀλλοδαπὴν ἀπιόντες οὐ μόνον πολλὴν ἐκεῖθεν ἐξήντλησαν τῶν τρόπων μιαρίαν καὶ κιβδηλίαν, ἀλλὰ καὶ τὸν νοῦν αὐτὸν ἐκφύλοις τισὶ δόγμασιν αὐτοί τε κατεμόλυναν, καὶ μυρίους ἄλλους, τούς γε εὐηθεστέρους καὶ ἀφελεστέρους, εἰς τὴν αὐτὴν βδελυρίαν ἐπέσυραν. Καὶ εἴθε γε κατὰ τὴν ἔκπλοιαν ναυαγήσειαν, οὐκ ἂν τὸ δεινὸν ἐν ξηρᾷ τοῦτο καὶ ἠθῶν καὶ ψυχῆς ναυάγιον ὑπέστησαν. Ἡ δὲ σὴ λογιότης, δόξα τῷ κρείττονι τῷ διὰ τοσούτων πόνων καὶ κινδύνων αὐτὴν διατηρήσαντι, μετὰ πολλῆς ἐκεῖθεν ὠφελείας ἀπονοστήσασα διάνοιαν καὶ ψυχὴν ἐτήρησε πλουτίσασαν μὲν, ἀλλὰ δίχα πάσης κιβδηλίας, καὶ ὡς ἀληθῶς, οἷα φιλόπονος μέλισσα καὶ ἀπ' αὐτῶν τῶν πικροτάτων ἀνθέων ἄγνὸν ἀπομαξαμένη τὸ τῶν ἐπιστημῶν ὑπὲρ αὐτὸ τὸ ὑμίττειον ἡδύτατον μέλι, τούτου πάντας ἡμᾶς ἐμφορεῖ, καὶ ὠνάμεθα μὲν ἅπαντες τῶν αὐτῆς λόγων, λύμην δὲ οὐδεμίαν οὔτε προσελάβομεν, οὔτε δεδοίκαμεν. εὖγε τῆς οὕτω λαμπρᾶς φυλακῆς, εὖγε τῆς μεγαλονοίας, Εὖγε τῶν κειμηλίων ὧν ἡμῖν μετουσία εἰλικρινής ἐστι καὶ καθαρὰ, καὶ τῷ ὄντι οἵαν καὶ ἐπιποθήσαιμεν· κἀκεῖνο δὲ τὴν ἡμετέραν ἐπαύξει θυμηδίαν, ὅτι γε ἔσῃ κατὰ τὴν αὐτὴν ἐπίδοσιν πολλοῖς ὑπόδειγμα βιώσης, ἄρα ἐπὶ μήκιστον, καὶ παιδας Ἑλλήνων ἐκπαι-

δεύοις τὴν ἀκραιφνῆ ταύτην καὶ τῷ ὄντι προσήκουσαν τῇ καθ' ἡμᾶς Ἐκκλησίᾳ διδασκαλίαν.

Β'.

Ἐπιστολὴ τοῦ διδασκάλου Σεβαστοῦ Τραπεζουντίου Κυμινήτου πρὸς τὸν μαθητὴν αὐτοῦ Χρύσανθον τὸν Νοταρᾶν.

Τῷ λογιωτάτῳ ἐν ἱεροδιακόνοις, ἡμετέρῳ δὲ ἐν Χριστῷ περιποθήτῳ κυρίῳ κυρίῳ Χρυσάνθῳ, πᾶν ἐν Χριστῷ καταθύμιον.

Τῶν ὄντων, φησὶν Ἐπίκτητος, τὰ μέν ἐστιν ἐφ' ἡμῖν, ὅσα ἡμέτερα ἔργα, τὰ δ' οὐκ ἐφ' ἡμῖν, ὅσα οὐκ ἔστιν ἡμέτερα. Ἐπὶ τῶν οὐκ ἐφ' ἡμῖν τοίνυν παρακατιών φησιν, ὁπηνίκα μὴ γένηται καθάπερ αὐτοὶ βουλόμεθα, βουλώμεθα καθάπερ ἐκεῖνα γίγνεται· ἀλλὰ ταύτην οὐκ ἐπαινεῖ τὴν γνώμην ὁ τῆς Καισαρέων φωστὴρ, κἀγὼ συντίθεμαι τῷ οὐρανοφάντορι, οὐ γὰρ καὶ τὰ κακὰ βουλητέα γιγνόμενα· ἀλλ' ἴσως οἶδε τοῦτο καὶ Ἐπίκτητος, ἀλλ' ἐκεῖνος, οἶμαι, τοῦτο παραμυθούμενος ἔφη τοὺς δυσπραγοῦντας, φορητότερα γάρ πως . . . τὰ δεινά. Ἀνθ' ὧν καὶ αὐτὸς ἐπείπερ οὐχ ἑκὼν τῆς τῶν ἐρασμίων ἐστέρημαι παρουσίας, οὐκ ὂν ἐφ' ἡμῖν, ἀγαπήσω καὶ ἄκων τῶν αὐτῶν καὶ ἀπόντων τὸν ἐνόντα γοῦν τρόπον ἐπαπολαῦσαι. Καὶ δὴ, φοιτητῶν μοι γνησιώτατε, τέκνον πατρὸς οὐρανίου, καὶ λογίων ἀνδρῶν ἀγχινούστατε καὶ ὀξύτατε, τέως μὲν ἐδόκεις εἰς ἔτι καὶ νῦν ὑπερόριος ἐν Μυσίᾳ διάγειν, τὰ νῦν τὴν σὴν ἐπιδημίαν παρὰ τῆς ἐπιστολῆς τοῦ ἡμετέρου ἐν ἱερομονάχοις παπᾶ κὺρ Γρηγορίου μαθὼν, προσαγορεύω καὶ νοερῶς περιπτύσσομαι τὸ κλέος τῆς ἐμῆς ὀλιγομαθίας, τὸν ἐμὸν ἱερολογιώτατον κύριον Χρύσανθον, ἀλλ' αὐτὸς μὲν ἤδη φθάσας ἀπολελόγημαι τῆς βραδύτητος τοῦ γράμματος· σὺ δὲ τίποτ' ἄρ' αἰτιάσῃ, πάλαι ὡς ἐγῷμαι τὴν Κωνσταντίνου καταλαβών; Μὴ δὴ κατόκνει, τέκνον πνευματικὸν καὶ τῆς ἐμῆς ὠδῖνος εὐκλεὲς ἀποκύημα, γραφῇ γοῦν συνεχέστερον, ὅποι ποτ' ἂν ᾖς, δηλῶσαι τοῖς φιλοῦσιν εἰδέναι τὰ καθ' ὑμᾶς, ὡς ἔμοιγε οὐδὲν τούτου ποθεινότερον τῶν ἐκεῖθεν πρὸς ὑμᾶς ἀγωγίμων. Μηδὲ λήθην ἀμπίσχου τηλικαύτης πρὸς ὑμᾶς εὐνοίας, τὴν διάστασιν αἰτιώμενος τῶν οὐκ ἐφ' ἡμῖν οὖσαν, καὶ διὰ τοῦτο μέμψεως ἀνωτέραν· ἢ τίνι διοίσομεν τῶν ἀμυήτων καὶ μόνῃ ζώντων αἰσθήσει; εἰμὴ καὶ τὸ χεῖρον ἐκείνων ἕξομεν, ὁπότε κἀκεῖνοι τοῖς ἡμετέροις σεμνύνονται,

καὶ ἀλλοτρίᾳ χρῶνται πρὸς τοῦτο χειρὶ, καὶ γραφῇ τοὺς ἀπόντας ὡς παρόντας ἀσπάζονται, καὶ τὰ κατ' αὐτοὺς ἀλλήλοις γνωρίζουσιν· εἰδὲ καὶ τὰ καθ' ἡμᾶς εἰδέναι σοι φίλον, καὶ ἐν οἷς ἐσμὲν ἤδη, περὶ μὲν τῶν προλαβόντων δῆλά σοι παρὰ τῆς εἰς τὸν Μακαριώτατον προκομισθείσης ἐπιστολῆς. Καὶ νῦν δὲ ὑγιείας μὲν ὅσον τῆς κατὰ σῶμα ἓν ὡς εἰπεῖν, ἔχομεν (οὐ γὰρ εἴποιμι ὡς ἐμαυτὸν πείθω κατὰ ψυχήν)· περὶ δὲ τῶν προσφοιτώντων, ὡς ἡμῖν κἀκείνοις ἐνὸν, ἀντιλαμβανόμεθα, καὶ τῶν κρειττόνων ἐλπίδων ἐχόμεθα, ἐν Θεῷ συλλαμβάνοντι. Καὶ αὐτὸς τοιγαροῦν, εἴτις σοι δύναμις, τοὺς λόγῳ καὶ ἔργῳ καὶ ἀπὼν ἡμῶν τε καὶ αὐτῶν ἀντιλαβοῦ, καὶ μεγάλαι σοι γενήσονται παρὰ Θεοῦ ἀμοιβαὶ τούτου γε ἕνεκεν. Εὐδαιμονέοις ἐν ἅπασι καθ' ἑκάτερον, ἱερολογίων ἀνδρῶν ἀγχινούστατε καὶ πάντων ἐμοὶ περιπόθητε. Ἀσπάζομαι δὲ ὅλῃ ψυχῇ καὶ τὸν αὐτάδελφόν σου ἅγιον ἀρχιδιάκονον κύριον Νεόφυτον ἰδίᾳ καὶ ἀμφοτέρους ὁμοῦ, τὴν ἱερὰν ξυνωρίδα καὶ κλέος τῆς ἐν Κωνσταντίνου σχολῆς. Ἀσπάζεται ὑμᾶς ἐκ μέσης ψυχῆς καὶ ὁ φιλοπονώτατος καὶ φιλομαθέστατος ἐν σπουδαίοις κύριος Θεόδωρος, μετὰ καὶ τῆς λοιπῆς τῶν προσφοιτώντων χορείας.

,αχπδ', Φεβρουαρ. κ'.

ΣΕΒΑΣΤΟΣ ὁ ἐλάχιστος ἐν σπουδαίοις καὶ σὸς, εἰ καὶ ἀνάξιος, καθηγητής.

Γ'.

Ἑτέρα τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.

Τῷ ἐν Χριστῷ ποθεινοτάτῳ καὶ κατὰ πάντα ἐρασμιωτάτῳ ἁγίῳ ἀρχιμανδρίτῃ τοῦ ἁγίου καὶ ζωοδόχου Τάφου, κυρίῳ Χρυσάνθῳ, πᾶν ἐν Χριστῷ καταθύμιον.

Δεῖγμα δὴ καὶ τοῦτο τῆς πάντα πρὸς τὸ συμφέρον οἰκονομούσης προνοίας, τὸ πανταχόθεν συνελαθέντα πρὸς τὸ τοῦ ποθουμένου καταντυγχάνειν τέλους, ἐντεῦθεν ἀπᾶραι. Ἦθος γὰρ τῇ θείᾳ προνοίᾳ τὸ διὰ τῶν ἀποθυμίων τὰ καταθύμια τοὺς ἀξίους ἐπιβραβεύειν. Οὕτω καὶ τὸν μακάριον Ἰωσὴφ ἐκεῖνον τὸν Πατριάρχην, διὰ τῆς φονικῆς ἐπιβουλῆς καὶ ἀπεμπολήσεως τῶν αὐταδέλφων, κατηνάγκασεν εἰς Αἴγυπτον ἀφικέσθαι, ἐπὶ τὸ βασιλεύειν ἐν καιρῷ δέοντι τηλικοῦτον ἄνδρα πάσης Αἰγύπτου, καὶ διατρέφειν ἐν καιρῷ λιμοῦ τὴν οἰκείαν συγγένειαν, καὶ τοὺς φονικοὺς αὐταδέλφους, οἷον εἰς ἀνταπόδοσιν τῆς ἀκουσίου δι' ἐκεί-

νου εὐεργεσίας καὶ βασιλείας. Οὕτω δὴ καὶ τὸν εὐσεβέστατον καὶ ἀοίδιμον καὶ πρῶτον ἐν βασιλεῦσι μέγαν Κωνσταντῖνον φεύγειν κατηνάγκασε διὰ τὴν ἐπιβουλὴν, καὶ πρὸς τὸν πατέρα ἀναδραμεῖν τὰ λοίσθια πνέοντα, ὅπως προλάβῃ τὴν βασιλείαν, καὶ τὸ παγχάλεπον φυγαδεύσαντα σκότος τῆς εἰδωλομανίας, ἀνακηρῦξαι κατὰ πᾶσαν τὴν οἰκουμένην καὶ ἀναδεῖξαι τὸ φέγγος τῆς εὐσεβείας καὶ ἀληθείας· οὕτω γινώσκεται κύριος κρίματα ποιῶν. Ἀλλὰ τὸ μὲν ἔρμαιον, ὦ φιλότης, ἤδη κατὰ θυμὸν ἐν χεροῖν· δεῖ δὲ προσοχῆς πρὸς τοῦτο καὶ φυλακῆς, μή ποτέ τι λάθος παρεισφρῆσαν αἰγυπτιακοῦ του, καὶ ἵν' οὕτως εἴπω, δηλητηρίου φυράματος, ἵνα μὴ τὸ ἄδολον κατακιβδηλεύηται καὶ θανατηφόρον ἀποφαίνηται γάλα τοῦ ὀρθοδόξου φρονήματος, μή τι πάθωμεν ἐπαναζεύξαντες, ὃ καὶ οἱ πρὸ ἡμῶν ἐπανελθόντες πεπόνθασιν, ἐκκηρυχθέντες καὶ ἄκοντες· ὅτι φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί· δεινὸν ἐν τοῖς τοιούτοις ἡ ραθυμία, καὶ ρανὶς ἐνδελεχοῦσα κοιλαίνει πέτραν· ὥστε τὸ τῆς μελίττης ζηλωτέον καὶ μόνον, πανταχόθεν τὸ χρήσιμον καὶ ἄδολον συλλέξαντας τῆς εὐσεβοῦς καὶ ὀρθοδόξου διδασκαλίας, τ' ἄλλα πάντα τεθεαμένους καὶ δοκιμάσαντας, ὡς οὐδὲν ἡμῖν συνοῖσον παραδραμεῖν.

Ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον· σὺ δέ μοι, ὦ λῷστε, μὴ μνησικακήσῃς, εἰ φυλὴν κατέλαβες, ὡς ὁ κωμικὸς παραινεῖ· νόει ἃ λέγω, φησὶν ὁ θεῖος ἀπόστολος· δώῃ γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσιν. Ἐμοὶ δὲ καὶ τοῦτο τοῖς ἄλλοις προσεγένετο τ' ἀγαθὸν, ὥστε με διὰ σοῦ τῶν καταθυμίων τυχεῖν· πολλῶν με καὶ χρησίμων χρεία βιβλίων· τὸ δέ γε νῦν ἔχον, εὗρέ μοι Ἀλέξανδρον τὸν Ἀφροδισέα εἰς ὅλην τὴν μεταφυσικὴν τοῦ Ἀριστοτέλους. . . . κτλ.

,αχγ' Μαρτίου κ'.

(ὑπογρ.) Ὁ ἐν σπουδαίοις ἐλάχιστος καὶ ὑμέτερός ποτε χρηματίσας καθηγητὴς
ΣΕΒΑΣΤΟΣ ΤΡΑΠΕΖΟΥΝΤΙΟΣ ΚΥΜΙΝΗΤΗΣ.

Δ'.

Ἐπιστολὴ Νικολάου Ἱερέως Κομνηνοῦ Παπαδοπούλου πρὸς τὸν ἀοίδιμον πατριάρχην Ἱεροσολύμων Δοσίθεον.

Τῇ Σοφίᾳ τῆς Ἀκροϊεραρχίας, τῷ μακαριωτάτῳ πατρὶ καὶ δεσπότῃ ἡμῶν Δοσιθέῳ πατριάρχῃ τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ, προσκυνητῶς.

Εἰ καὶ καλὸν ἡ σιγὴ, καλὸν ὅμως καὶ τὸ λαλεῖν ἐν καιρῷ, κατὰ

τὸν σοφόν· καὶ ἡ μέν ἐστιν εὐλαβείας σημεῖον, ἡ δὲ τεκμήριον ἀνάγκης, ἀναφέρουσα ἐν αὐτῇ καὶ τὸ εὐλαβὲς, ὅταν πρὸς κύριον καὶ δεσπότην τὴν προσήκουσαν ἀπονέμῃ προσκύνησιν. Καὶ δὴ ἀνάγκη μοι, Μακαριώτατε πάτερ, καὶ νῦν καὶ εἰς τοὐπιὸν πρὸς τὴν ὑμετέραν Μακαριότητα εἰ καὶ σπανίως, ἀλλὰ μήν ποτέ, γράφειν. Ἀπελθόντος γὰρ τοῦ σοφωτάτου ἀρχιμανδρίτου, δι' οὗ μοι τὸ πρὸς ὑμᾶς εὐσεβὲς ἦν ποτε ἐκτελέσαι, χρὴ αὐτὸ τοῦτο δι' ἐμαυτοῦ ἐντεῦθεν προσπληροῦν, καὶ αἱρεῖσθαι τὸ αὔθαδες τῆς γραφῆς, ἵνα μὴ φανῶ ὑπεύθυνος τῷ ἀχαρίστῳ τῆς λήθης· ἵνα, φημὶ, μὴ φανῶ, οὐκ ἔσομαι γὰρ, εἰ καὶ φανῶ ποτε· ὅτι ἀδύνατον Ἕλληνι, καὶ Ἑλλήνων ἑλληνικωτάτῳ, μὴ μεμνῆσθαι ἀεὶ ὑμῶν, καὶ σέβεσθαι τοὔνομα τῆς Ὑμετέρας Μακαριότητος, ἐν ᾗ συνήρμοσται τὸ κορυφαῖον τῆς πατρῴας δόξης, τὸ ὀρθόδοξον τῆς ἀνατολικῆς σοφίας, τὸ καταπλῆττον τὴν αἱρετικὴν φρενοβλαβείαν.

Καὶ ταῦτα πρὸς δικαιολογίαν τῆς παρούσης μου τόλμης, ἣν μόνον ἔχω παράκλησιν τῆς ἀπουσίας τοῦ φιλτάτου μοι Χρυσάνθου. Ἀπῆλθεν οὗτος μετὰ τοῦ εὐγενεστάτου κυρίου Ῥαδουκάνου τῇ μεγάλῃ δευτέρᾳ ε' Ἀπριλίου κατὰ τὸ ἐν Ἰταλίᾳ Καλανδάριον, καὶ ἀρξάμενος τῆς πρὸς Κέλτας πορείας ἀφεῖλέ μοι μετὰ τῆς καρδίας τὴν ἡδονὴν, καὶ τὴν δόξαν μου τῆς διδασκαλίας· οὐ γὰρ ἐλπίζω ποτὲ, εἰ καὶ ἑκατοντούτης ἀποθανῶ, φοιτητὴν τοιοῦτον εὑρεῖν, οὗ τὸ φιλεπίστημον ἄκρον, τὸ σπουδαῖον πολὺ, βαθὺ τὸ νοητικὸν, τὸ πολυμαθὲς ἀνερεύνητον. Ὄψει, Μακαριώτατε πάτερ, τὸν ἀνεψιὸν, οἷον ὁρμώμενον ἀπὸ τῆς Φοινίκης τὸν Πυθαγόραν, καὶ ἀνερχόμενον ἐκ τῆς Αἰγύπτου τὸν Πλάτωνα ἡ Ἑλλὰς, καὶ εἰ καὶ μὴ ἠὐξημένην τῇ αὐτοῦ σοφίᾳ τὴν ὑμετέραν δόξαν αἰσθήσῃ, γνώσῃ ὅμως πεπλατωμένην τὸν αὐτὸν τρόπον (εἴπερ τι τῶν ἡμετέρων πρὸς τὸ θεῖον ἀνάλογον), ὃν οὐκ ἠὔξησεν ὁ υἱὸς τὴν τοῦ πατρὸς δόξαν, ἀλλ' ἐξέτεινε, καθ' ἅπερ γὰρ υἱὸς οὐκ ἄλλως γ' ἐξέτεινε τὸ ἔνδοξον τοῦ πατρὸς, ἢ ἀνάγων αὐτὸ εἰς συντομὴν, ἵνα ταῖς ὁρισταῖς ἡμῶν διανοίαις φορητὸν γένοιτο τὸ ἄπειρον καὶ ἀόριστον, οὕτω καὶ ὁ ἅγιος ἀρχιμανδρίτης ὡς ἐν συντομῇ ἀνέδειξεν ἡμῖν τὰ μεγαλεῖα τῆς ὑμετέρας Μακαριότητος, ἣν καὶ εὐλαβούμεθα καὶ εὐλαβησόμεθα εἰς ἀεὶ, τῷ Θεῷ μεγάλας ἀπονέμοντες χάριτας, ὅτι ἠξιώθημεν δοῦλοι γενέσθαι καὶ θαυμασταὶ τῆς ὑμετέρας ἁγιωτάτης ἀρχιερωσύνης, καὶ, εἰ δίδωσιν ἡμῖν ἡ ὑμετέρα φιλανθρωπία, ἐρασταί τε τῆς ὑμετέρας ἐξοχωτάτης σοφίας, καὶ κτήτορες τῆς ἀγάπης, ἣ ἀντά-

ξια κατὰ τὸ δυνατὸν παρέξομεν, τοῖς ὑμετέροις θείοις προστάγμασι πειθόμενοι, ἑπόμενοι δὲ τοῖς παραδείγμασι τοῦ ἁγίου Χρυσάνθου ἡμῶν, ἐν ᾧ τὸ μεγαλοπρεπὲς καὶ ἀξιοπρεπὲς τῆς ὑμετέρας Μακαριότητος ἐθαύμασεν ἀτενῶς θεωρήσασα ἡ Ἰταλία, καὶ ὡμολόγησε, κἂν ἄκουσα διὰ τὸν φθόνον, ἀλλ' οὐ τὸ ἀνῆκον εἰς τὸν μέγαν Δοσίθεον. Τοσοῦτο τὸ κλέος τοῦ ὑμετέρου ἀνεψιοῦ, τοῦ γεγονότος ἐνταῦθα θέατρον, οὐ τῆς πατρῴας σοφίας, πλὴν ἀλλὰ καὶ τῆς ἀρετῆς, ὥστε χρή με ἀγάλλεσθαι, οὐχ ὅτι, ἐλθὼν σοφὸς, ἐπανέρχεται σοφώτατος, ἀλλ' ὅτι ἀμετάβλητος τὰ ἤθη ἐκ τῆς ἐνταῦθα διαφθορᾶς τὸ χρυσοῦν ἄνθος τῆς καλοηθείας μεθηγεῖται ἐνταῦθα, γενόμενος ἐν τῷ μεταξὺ καὶ τοῖς μυκτηρίζουσιν ἡμᾶς Λατίνοις ἔπαινος διὰ τὴν ἐν τοσαύτῃ ταπεινοφροσύνῃ μεγαλόνοιαν, ἐν τοσαύτῃ μεγαλονοίᾳ ἐπιείκειαν, διά τε τὸ σῶφρον ἐν τῷ ἐπιεικεῖ, καὶ τὸ εὐτράπελον ἐν τῇ αὐστηρότητι, τὸ φρόνιμον, πολιτικὸν, καὶ ἀστεῖον ἐν τῇ ἀγωγῇ καὶ διαίτῃ. Εἴθε τὸ θεῖον οὐ δέκα, ἀλλὰ καὶ δύο τοιούτους δῴη, ἦν ἄν μοι ἐλπὶς μεγάλων κατορθωμάτων, ἃ δὴ καὶ δῴη ἡμῖν διὰ τούτου μόνου ὁ Θεὸς, ἰθυνούσης τὰς ἱερὰς ἡνίας τῆς Ὑμετέρας Μακαριότητος, ἧς προσκεκυφὼς ἀσπάζομαι τὰ ἱερώτατα ἴχνη.

Ἐκ Παταβίου αψ' Ἀπριλίου η'.

Τῆς ὑμετέρας ἁγιωτάτης μακαριότητος ταπεινότατος υἱὸς καὶ ἔσχατος δοῦλος
ΝΙΚΟΔΑΟΣ ἱερεὺς ΚΟΜΝΗΝΟΣ ΠΑΠΑΔΟΠΟΥΛΟΣ.

Ε'.

Ἐπιστολὴ τοῦ ἀοιδίμου διδασκάλου καὶ ἱεράρχου πρώην Μεσημβρίας Σαμουὴλ τοῦ Κυπρίου πρὸς Διονύσιον Κλεόπαν.

Τέκνον ἀγαπητὸν κὺρ Διονύσιε, εὔχομαί σοι ἐκ ψυχῆς κατ' ἄμφω ὠφέλιμα.

Τὴν ἐπιστολήν σου, γεγραμμένην Φεβρουαρίου μεσοῦντος, ἔλαβον ἀρχομένου Μαρτίου, τῇ β' Κυριακῇ τῶν νηστειῶν. Ὑπερβάλλουσαν χαρὰν προὐξένησε τῇ ψυχῇ μου, τὸ μὲν ὅτι ἐχαρίσατό σοι ἡ τοῦ Θεοῦ πρόνοια ὅπερ ὑπερεπεθύμουν· διότι (;) ὑπερεπεθύμεις καὶ χρηστὰς ἔτρεφον καὶ τρέφω τὰς ἐλπίδας· τὸ δὲ, ὅτι ἐλέει θείῳ καὶ ὑγιαίνεις, ὅπως καταβάλλῃς τοὺς ἀνήκοντας τῇ ἐκπαιδεύσει σου πόνους. Ἀλλ' ὅμως χρέος ἐκπληρῶν πατρικὸν, εὐθὺς ἐκ προοιμίων τῆς ἐπιστολῆς

μου πρὸ παντὸς ἄλλου συμβουλεύω σοι, ἅπερ καὶ τῷ Κ. Εὐθυβούλῃ ἀναχωροῦντι εἰς Παρισίους, (ὅστις ἤδη τιμᾷ μετ' ἐπιμελείας τὴν φιλοσοφικὴν τοῦ Γυμνασίου τοῦ Γένους καθέδραν, δόξα τῷ Θεῷ), εἰ καὶ μὴ ἐφύλαξεν ἀκριβῶς, ἐξ οὗ καὶ ἔπαθεν ἐπὶ τέλους οὐ μικρόν. «Μέλι εὑρὼν, τέκνον, φάγε τὸ ἱκανὸν (συμβουλεύει ὁ σοφὸς Σολομὼν), ἵνα μὴ ἐμπλησθεὶς ἐμέσῃς.» Μὴ ἡ παιδεία οὐχ ὑπὲρ μέλι; ἀλλὰ καὶ ταύτης ὁ κόρος, μᾶλλον δὲ τὸ λαιμάργως καὶ πρὸς ταύτην φέρεσθαι, βλάπτει, καὶ πολλάκις τοσοῦτον, ὥστε οὐδὲν ὠφέλησεν οὔτ' αὐτὸν τὸν κτησάμενον, οὔτε τὸν πλησίον, ὅτι πάθος τι ὀλέθριον κατεθέρισεν αὐτοῦ τὴν ζωὴν τάχιον. Πόθεν; ἐκ τοῦ πλέον τῶν φυσικῶν δυνάμεων ἀναδέχεσθαι πόνους· ἐκ τοῦ ἀτάκτως ἐσθίειν, καὶ μελετᾷν, καὶ μοχθεῖν, καὶ ὑπνώττειν κτλ. ἐκ τοῦ διαίτῃ βρώσεως καὶ πόσεως χρῆσθαι βλαπτούσῃ· καὶ τί λέγω ἄλλα; Ἀλλὰ μέμνημαι ἀεὶ τοῦ σοφοῦ πάλιν Σολομῶντος, ὅτι «καιρὸς τοῦ φαγεῖν, καιρὸς τοῦ πιεῖν, καιρὸς τοῦ ὑπνώττειν, ... καιρὸς παντὸς πράγματος»· ὥστε μεταλλάττοντι τοὺς καιροὺς τῶν ἔργων, βλάβη πάντως συμβήσεταί σοι. Πρόσεχε τέκνον λοιπὸν, καὶ πρόσεχε μεγάλως.

Ἀλλὰ τὰ εἰρημένα εἰς τὴν τοῦ σώματος ὑγείαν ἀφορᾷ· οὐκ ὀφείλεις δὲ πολλῷ πλέον προσέχειν τοῖς ἀφορῶσι πρὸς τὴν τῆς ψυχῆς ὑγείαν; Καὶ τί ἄλλο πρότερον καὶ ἤκουσας πολλάκις παρ' ἐμοῦ, καὶ ἤδη ἀκούσεις; Εἴπερ οἶδα, καὶ βούλομαι χρέος πατρὸς ἐκπληροῦν, καὶ τοσούτῳ πλέον, καθ' ὅσον καὶ ἐν μέσῳ ἑτεροδιδασκαλίας διάγεις, καὶ φωναὶ ἑτεροδιδασκάλων καθ' ἑκάστην ἐμβομβοῦσι ταῖς ἀκοαῖς σου, καὶ διδασκαλίαι ὀθνεῖαι καὶ ἐναντίαι τῶν παραδόσεων τῶν θείων Γραφῶν, σοφίσμασι τῆς καταργουμένης τοῦ αἰῶνος τούτου σοφίας δῆθεν συμβιβαζόμενα, ὥστε νομίζειν ἀληθὲς τὸ, δυσέφικτοι! (ὡς γράφεις). «Πρόσεχε οὖν, τέκνον, ἀπὸ τῶν τοιούτων μᾶλλον, καὶ φύλαξαι τὴν ψυχήν σου σφόδρα» συμβουλεύουσί σοι αἱ θεῖαι Γραφαὶ, ὧν τῷ σωτηρίῳ γάλακτι ἐτράφης, καὶ τῷ ζωηφόρῳ ἄρτῳ αὐτῶν εἰς ἄνδρας ἔφθασας. Μήποτε καταθρασυνθῇ τις, καὶ εἴπῃ τὸ τοῦ Σολομῶντος «περιπατήσει τις ἐπ' ἀνθράκων, τὰ δὲ ἱμάτια αὐτοῦ οὐ κατακαύσει;» συνάγων δῆθεν ἀναντίρρητα ἀπὸ τῆς ποιότητος τῶν πανεπιστημίων, ἐν οἷς διδάσκῃ, μὴ μεμνημένος ὅτι πολλοὶ δοῦλοι τοῦ Θεοῦ καὶ οἱ τρεῖς παῖδες ἐν Βαβυλῶνι περιεπάτησαν ἀβλαβεῖς ἐν τῇ φλογὶ, οὐκ ὀλίγοι δὲ τῶν πρὸ ἡμῶν διῆλθον ἀβλαβεῖς τὰς τοιαύτας (περὶ ὧν ὁ

λόγος μου) φλόγας, ἄνθρακας κτλ. καὶ οἱ καθ' ἡμᾶς μεγάλοι Εὐγένιοι καὶ Θεοτόκαι· οὐδέποτε ὁ Θεὸς ἐπαύσατο θαυματουργεῖν, ἀλλ' ἀνάγκη ἵνα καὶ ὁ ἄνθρωπος προσέχῃ, ἐπικαλούμενος τὴν θείαν βοήθειαν· καὶ ἰδοὺ (λέγει ὁ Θεὸς), «ὅτι σοῦ λαλοῦντος, ἐγὼ πάρειμι.» Ἐγώ, τέκνον, ἐλπίζω εἰς Θεὸν, ὅτι διεκπερανεῖς τὸ στάδιον τῆς ἐκπαιδεύσεώς σου, θείᾳ βοηθείᾳ καὶ χάριτι, ἔλος ἄθικτος καὶ τῆς ἐλαχίστης περὶ τὴν ἱερὰν καὶ ὀρθόδοξον θρησκείαν βλάβης, ὡς ἱκανῶς κατηρτισμένος, καὶ τῇ κραταιᾷ τοῦ Θεοῦ χάριτι σκεπαζόμενος ἄλλως δὲ, διατί ἠγωνιζόμην, ἵν' ἀπέλθῃς (εἰ καὶ μὴ εἰς Ῥωσσίαν), εἰς γοῦν τὴν Γερμανίαν; Ἀλλ' ὅμως, εἰ πατήρ εἰμι, ὀφείλω, ἐφ' ὅσον εἰμὶ ἐν τούτῳ τῷ ἀθλίῳ σκηνώματί μου, ὑπομιμνήσκειν σέ τε καὶ πάντα τὰ τέκνα μου, καὶ διεγείρειν ὑμᾶς εἰς τὴν ἐκπλήρωσιν τῶν χρεῶν ὑμῶν, τῶν πρὸς τὸν Θεὸν καὶ πρὸς τὸν πλησίον.

Ἐκ τῶν δύο μαθημάτων, ἅπερ ἤδη ἀκούεις, τὸ ἕν ἐστι (λέγεις) ἑρμηνεία εἰς τὰς ἐπιστολὰς τοῦ Παύλου. Μέμνησο, ὅτι αἱ τοῦ Παύλου ἐπιστολαὶ περιέχουσι πλέον τῶν ἄλλων τὴν τῶν ὑψηλῶν τῆς θρησκείας ἡμῶν δογμάτων διδασκαλίαν καί που καὶ ἀνάπτυξιν. Ὁ Ἀπόστολος Πέτρος ἐμαρτύρησε περὶ τῶν τοῦ Παύλου ἐπιστολῶν, «ὅτι εἰσί τινα τοῦ ἀδελφοῦ δυσνόητα, ἃ οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι (πρόσθες καὶ ἀλαζόνες αἱρετικοὶ), στρεβλοῦσι πρὸς τὴν ἰδίαν αὐτῶν ἀπώλειαν»· οὐδόλως λοιπὸν προσέχειν ἡμᾶς δεῖ ταῖς τῶν τοιούτων ἑρμηνείαις, αἰχμαλωτιζόντων, μᾶλλον δὲ βιαζόντων, πρὸς τὴν τῆς ἰδίας αἱρέσεως σύστασιν, ἀλλὰ ταῖς τῶν θεοσόφων ἡμῶν πατέρων, οὓς οἶδας ὅτι οὗτοι οὐ δέχονται, ὀλεθριώτατον τοῖς ὀρθοδόξοις. Κἀγὼ θέλω ἐκμαθεῖν σε τὴν Ἑβραϊκὴν ὡς βοηθοῦσαν ἔστιν ὅτε, ἀλλὰ μὴ ἔχειν περὶ αὐτὰς οἵαν ἐκεῖνοι ἔχουσιν ὑπόληψιν ὡς πρωτοτύπου, ὡς ἀξιοπίστου.... διότι πόσον καὶ πόσοι ἔφθειραν αὐτὴν, καὶ διὰ τί, οἶδας καλῶς. Ἀξιοπιστότερον πρωτότυπον καὶ λέγεται καὶ ἔστιν ἡ τῶν Ο' μετάφρασις, ἢ τὸ Ἑβραϊκὸν λεγόμενον πρωτότυπον, ὡς ἤδη ἔχει. Συνάγεται λοιπὸν ἐκ τούτων, ὅτι δεῖ προσέχειν οὐ μόνον τῷ δογματικῷ μέρει τῆς διδασκαλίας, ἀλλὰ καὶ τῷ ἑρμηνευτικῷ, ἐκτὸς ἐὰν ἐννοῇς, κἂν τῷ ἑρμηνευτικῷ, ἐπειδὰν εἰς τὸ δογματικὸν τρέπωνται. Ἔπειτα πάντα τὰ δόγματα οὐκ ἀπὸ τῶν Ἁγίων Γραφῶν; οὐκ ἀπὸ τῆς ὀρθῆς αὐτῶν ἑρμηνείας; τοὐναντίον δ' αἱρέσεις ἀπὸ τῆς στρεβλῆς; τί ἄλλο ποιοῦσιν οἱ ἱεροὶ ἡμῶν διδάσκαλοι, ἢ ἑρμηνεύουσιν ἀνα-

πτύσσοντες τὰς ἀληθεῖς τῶν δογμάτων ἐννοίας; οὐχὶ δὲ καὶ οἱ ἐκείνων τὰς ἐκείνων; ἢ διὰ τί ἄλλο οὐ δέχονται τοὺς θείους ἡμῶν διδασκάλους; Ἱκανὰ ταῦτα περὶ τούτων, καὶ πρόσεχε! Διδάχθητι δὲ καὶ τὴν συριακήν· οἶδα τὸν Μ. Βασίλειον λέγοντα γνώμην μεγάλου ἁγίου Σύρου (τοῦ ὁσιωτάτου πατρὸς ἡμῶν Ἐφραὶμ), ὅτι ἡ συριακὴ γλῶσσα πολλὴν ἔχει τῇ Ἑβραΐδι τὴν ὁμοιότητα, καὶ ἐν πολλοῖς σαφέστερον μετέφρασε. Σύμφημι κἀγὼ, ἵνα μᾶλλον ἀσχοληθῇς ἐν τῷ φιλολογικῷ τῆς Θεολογίας μέρει, ὡς πλατυτάτῳ καὶ χρησιμωτέρῳ, ἐπειδὰν ἐπὶ διδασκαλικῆς ἕδρας καθήσῃς, τὸ γὰρ δογματικὸν ἀνεξερεύνητον καὶ πίστει μόνῃ παραδεκτὸν, κατὰ τὴν διδασκαλίαν τοῦ Σωτῆρος, καὶ τῶν θείων αὐτοῦ μαθητῶν, καὶ ἱερῶν διδασκάλων. Περὶ δὲ τῆς διατριβῆς τῶν περὶ Ἱερουσαλὴμ, εὔχομαί σοι, εἰ τέκοις, τεκεῖν μέγα· ἀλλ' ὅρα μὴ πάθῃς τὴν ὑγείαν, προσθεὶς πόνον τοῖς πόνοις, ὅπερ ἔπαθε σχεδὸν καὶ Εὐθυβούλης, ἐπιχειρήσας μεταφράσαι τὴν τοῦ διδασκάλου αὐτοῦ φιλοσοφίαν, καὶ ταύτην τῇ ἀρχαίᾳ Ἑλληνίδι. Ὁ Κ. Κ. Ἡροκλῆς ὀργᾷ πρὸς τὴν φιλολογίαν, ὁ ἔρως αὐτοῦ ἀκμάζει, ἀλλ' ὁ πόρος ἄπεστι. Πόσον οὐκ ἠγωνίσθην! ἀλλ' ἐν γούνασι Θεοῦ κεῖται. Εὔχου καὶ σὺ, εἴπως ἐπιτύχοι τῆς ἐπιθυμίας. Ἔχε δὲ ἀνεξάλειπτα τῆς μνήμης ὅσα σοὶ γράφω.

Ἐν Φαναρίῳ ,αωμς' Μαρτίου.

Ἔρρωσο.

Ὁ διάπυρος εὐχέτης

† Π. Κ. ΣΑΜΟΥΗΛ ὁ Κύπριος.

ΙΓ'.

ΑΝΘΟΔΕΣΜΗ. (*)

Δέδυκε μὲν ἀ Σελάνα καὶ Πλειάδες, μέσαι δὲ νύκτες, παρὰ δ' ἔρχεθ' ὥρα, κνέφας θ' ἱερὸν ἐπικέχυτ' ἀνὰ τραφερήν τε καὶ ὑγρὴν, οὐ δ' ἄρ' ἐκ νεφέων ἐρεβεννὴ φαίνεται ἀὴρ, ὡς ποτ' ἀνὰ πόντον Ὀδυσσεῖ, ἀτὰρ φάος Ἠελίοιο φαέθοντος ἀπέστιχε, νύξ τε κελαινὴ προβέβηκε. Καὶ νῦν δὴ πάντα σιγᾷ, οὐδέ τις ἠχὴ τελέθει, οὐδ' Εὖρός τε Νότος τε δυσαὴς ἀλλήλοιν ἐριδαίνετον, ἀλλ' ὕπνος θανάτοιο κασίγνητος πάντων ἀνάσσει. Μοῦνον ἐμὲ οὐκ ἔχει νήδυμος ὕπνος πολλὰ κατὰ φρένα ὁρμαίνοντα. Νὺξ μάλ' ἄνεται, ἐγγύθι δ' ἠὼς, ἄστρα δὲ δὴ προβέβηκε, παρώχηκε δὲ νὺξ πλέων τῶν δύο μοιράων, τριτάτη δ' ἔτι μοῖρα λέλειπται.

Τί δ' ἄρα ἐστὶν, ὅπερ ποτ' ἐμὸν γλυκὺν ὕπνον ἀφεῖλε ; τίς δὲ χρειὼ ἱκάνει με, ἧς εἵνεκεν ἔνθα ἐς Ἠῶ δῖαν μίμνω ; Μικρὸν καὶ ἀκούσεσθε.

Νῦν ἄστρα πολλὴν ἀπολάμπει αἴγλην, νῦν ἄστρα βεβήκει, νῦν

(*) Ὅσοι παρέστησαν τὸ παρελθὸν θέρος κατὰ τὴν ἀπονομὴν τῶν ἀπολυτηρίων ἐνδεικτικῶν ἐν τῷ ἐνταῦθα Ἑλληνικῷ Λυκείῳ τῷ ὑπὸ Α. Τάγη καὶ Χ. Χατζηχρήστου διευθυνομένῳ, ἐνθυμοῦνται βεβαίως τὴν ἐντύπωσιν, ἣν παρήγαγε τὸ ἀπαγγελθὲν ὑπὸ Γεωργίου Πουρναρᾶ, μαθητοῦ τῆς ἀπολυομένης τάξεως, δίκην ἀποχαιρετισμοῦ, προσφώνημα. Τούτου ὁ πρόλογος, ἀπανθισθεὶς καταλογάδην ἐκ τοῦ εὐόσμου ποιητικοῦ τῆς ἑλληνικῆς ἀρχαιότητος ἀνθῶνος, ἀποτελεῖ ὡραίαν ἀνθοδέσμην, ἅμα δὲ καὶ δεῖγμα φιλοπονίας καὶ ὀξείας ἀντιλήψεως, βεβαίαν τὴν ἐν τῇ σταδιοδρομίᾳ τῶν γραμμάτων προμνηστευομένης εὐδοκίμησιν τῷ νέῳ Πουρναρᾷ, οὗ τὸ χαριέστατον δοκίμιον ἀσμένως δημοσιεύει τὸ « Ἡμερολόγιον τῆς Ἀνατολῆς ».

τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται, τράπεν πρὸς ῥοὰς Ὠκεανοῖο, σῖη δ' Ἄρκτος ἄμορος λοετρῶν αὐτοῦ· νῦν Ἑρμῆς πάντοσ' ἐποιχόμενος τὸν πολυόμματον Ἄργον κατέπεφνεν, νῦν τ' Ἠὼς ἠριγένεια φάνη, τὰ Τιθωνοῦ λιποῦσα λέκτρα, ἵν' ἀθανάτοισι φόως φέροι ἠδὲ βροτοῖσιν, ἐκ περάτης ἀνελθοῦσα, τούς τ' ὠκύποδας ἵππους Λάμπον καὶ Φαέθοντα ζεύξασα. Ὡς θᾶττον ἡ ὥρα παρῆλθεν!

Ἡ ῥοδοδάκτυλος Ἠὼς προβαίνουσα βάλλει τὰς τῶν θυρίδων ὑέλους, νύξ τε ἀνοπαία διέπτατο. Νῦν δ' Ἠέλιος φαέθων ἀνόρουσεν, οὗ κάρτος ἄμεινον. Ἤϋτε πῦρ δ' ἀΐδηλον ἐπιφλέγει ἄσπετον ὕλην οὔρεος ἐν κορυφῇς, ἔκαθεν δέ τε φαίνεται αὐγὴ, ὡς ἀπὸ ἠελίοιο παμφανόωσα ὕελος ἀπολάμπει, λέχεα δ' ἄρα βροτῶν μαρμαίρει, φόως τ' ἄπλετον δόμοις ὑψηρεφέεσιν ἔνεστιν, ὅ γε πρὸς ἀμαλὸν πελάζον χρῶτα, τῇ ἀλέῃ σφᾶς ἐξεγεῖρον λανθάνει· ταχὺ δ' ἐσσάμενοι φάρος τε καὶ χιτῶνα σκίδνανται ἄλλυδις ἄλλος ἐν θυμῷ μέγα χαίροντες τῷ τε λαμπρῷ τοῦ ἡλίου φωτὶ καὶ τῷ ἦρι ἔτι ἀκμάζοντι· τοῖσι δὲ μελάθροις μένον κεκαφηότι θυμῷ γέροντες.

Μόνῳ ἐμοὶ οὐκ ἔαδε ταῦτα θυμῷ, εὐφροσύνη τε οἴχεται πάμπαν. Ἦμαρ οὐ μίμνει, ἀλλὰ βαίνει θοὸν, ἠέλιός τε φαεσίμβροτος αὐτοῖσιν θ' ἵπποισίν τε καὶ ἅρμασιν λύσας ὁμίχλην ἤδη πολλὴν, ποιμέσιν οὔτι φίλην, κλέπτῃ δέ τε νυκτὸς ἀμείνω, ἐν ᾗ τόσον τίς τ' ἐπιλεύσσει ὅσον τ' ἐπὶ λᾶαν ἵησιν, εἰς οὐρανὸν ἐρῆμον στείχει παμφανόων, χάρμα μὲν βροτοῖσιν ἅπασι, χάρμα δὲ καὶ φύσει. Ἤδη Θεὸν αἰὲν ἐόνθ' ἱλάσκεσθαι ἤρξατο μέλπουσα σύμπασ' ἡ φύσις, εἶματι γαίουσα σιγαλόεντι. Νῦν δὲ, ἦτορ ἐμὸν, φίλον, εὐχὴν πρὸς Πλάστην Παμμεδέοντ' ἀνάπεμψον· ἤδε γὰρ ὥρη προσευχῆς, τάχα δὲ καὶ παρελεύσεται· ἥξει δ' ἀκράτισμα· οὐδὲ τοῦτο μενεῖ· ἥξει καὶ ἄριστον καὶ δεύτατον δεῖπνον· οὐδ' ἔνθα στήσεται χρόνος· μετὰ τὸ γὰρ καὶ ὕπνος πανδαμάτωρ αἱρήσει πάντας· ὣς ἐς τελευτὴν παντὸς γενήσεται· ἀτὰρ τῶν λάθου πάμπαν, μνῆσαι δ' εὐχῆς· οὔποτε γὰρ παύσει φωνῶν· « ῥεῖ πάντα· σκιὰ πάντα καὶ ἄλια, ὅσσ' ἐνὶ γαίῃ, τοῖσι δ' ἀνθρώποισιν ὀϊζὺς καὶ ἀνία καὶ πόνος, τερπωλῆς ἀπάνευθε κιούσης », ὡς καί σοι νῦν γέγονεν, ᾧ οὔ τι χάρμα ἔνεστιν, αἰθέριον δ' ἔπτα ταχὺ, πολλῶν μνωομένῳ· νῦν δὲ τὰ λιπὸν, φίλα τάδ' αὔδα, οὐδ' ἀκράντοις ἔπεσιν ἐφάψει· φιλεῖ γὰρ θεὸς ὑπέρπολλον πάντας.

Εὐρυκρεῖον ἰδ' ὑψίμεδον βασιλεῦ! Τελέσιφρον!
Εἴ σὺ χαρᾶς ταμίας, ἡμῖν δὲ χαρὰν νῦν ὄπασσον,
ὡς τερψώμεθα βαιὸν, ἐπεὶ οὐ τέρψις ἔμεινεν·
ἤματι τῷ γὰρ, ἄμ' Ἠελίῳ λαμπρῷ ἀνιόντι,
ἐς βιοτὴν ἀγόμεσθ' ἀγορὴν δέ τε κυδιάνειραν.
Συμπέφυκ' ἄλγεα δ' ᾗ κραδιοφθόρα, αἶεν ἐόντα·
ἔστι δὲ θυμὸς ἄθυμος ἐμεῦ ἄλλων τε ἑταίρων.
Τῷ Θεὲ οὐρανοφοῖτα ἐμὸν τεῦξον κέαρ ἠδὺ,
δός τε ῥηϊδίως βίον ἐξανύσαι· ζηλωτὸν
ἀνθρώποισι· τὸ δ' ἐστιν ἐμοὶ μέγα, σοὶ δ' ἄρα μικρόν.

Αὐτὰρ ποῦ ἵσταμαι, τί δ' ἐξ Ἑπταλόφου καρήνων καθορῶ!!!

Νῦν ἀγανὴ Περσεφόνεια χεῖρε Πλούτωνος ὑπεκπροφυγοῦσα βαίνει ἅμ' Ἠλίῳ παλλεύκῳ ποδὶ, τόν θ' ἁδρὸν τῶν παρειῶν ἀπαυγάζουσα χρῶτα, ὀδμήν τε θεσπεσίαν ἀποπνείουσα τοῖς ἄνθεσιν, ἃ τήνδε γ' ἀμπέχει, κοῦραι δὲ Διὸς αἰγιόχοιο ἅμ' οἱ ἕπονται μετὰ χερσὶ δῶρα κάλλιμα ἔχουσαι. Ἦ μὴν θαῦμα ἰδέσθαι· θαυματὰ γὰρ πάνυ. Καὶ πάντων μὲν βροτοῖς κόρος ἐστὶ καὶ ὕπνου καὶ φιλότητος καὶ ἐδητύος καὶ ποτῆτος καὶ ὀρχηθμοῖο ἀμύμονος, τῶν δ' οὔποτε κορέννυνται, πάντες δ' ἤδη κηληθμῷ ἔσχοντο ὁρῶντες φυτά τε καὶ ζῶα, τά τε χαμαὶ ἔρχεται, τά τ' αἰθέρια ἵπταται.

Τῇ μὲν λίμναι λεχεποῖαι, αἷς αἴγειρός τε καὶ ἰτέα περιπέφυκεν, ἐν δὲ νῆσσαι ἀγαλλόμεναι λούονται· τῇ δ' ἄρ' ἐπὶ προχοῇσι διιπετέος ποταμοῖο βέβρυχε μέγα κῦμα ποτὶ ῥόον, ἀμφὶ δέ τ' ἄκραι ἠϊόνες βοόωσιν, ἐρευγομένης ἁλὸς ἔξω· ἄλλῃ δὲ κρῆναι μελάνυδροι, αἵτε κατ' αἰγίλιπος πέτρης δνοφερὸν ὕδωρ χέουσι, τὰς περὶ δὲ κισσὸς ὑψόθι μαρύεται ἑλιχρύσῳ κεκοσμημένος· ἁ δὲ κατ' αὐτὰς καρπῷ ἕλιξ εἱλεῖται ἀγαλλομένα κροκόεντι. Ἄλλῃ δὲ χείμαρροι ποταμοὶ ἁλιμυρέες κατ' ὄρεσφι ῥέοντες ἐς μισγάγκειαν συμβάλλουσιν ὄβριμον ὕδωρ κρουνῶν ἐκ μεγάλων κοίλης ἔντοσθε χαράδρης· τῇ δὲ παρὰ θαλάσσης ἀκτὴν, ᾗ πέτρα λεπρὰς τέτυκται, γριπεὺς γέρων ἥμενος μέγα δίκτυον σπεύδων ἐς βόλον ἕλκει, κάμνοντι τὸ καρτερὸν ἀνδρὶ ἐοικώς· φαίης κεν γυίων ὅσον σθένος ἐλλοπιεύειν· ὧδέ οἱ ᾠδήκαντι κατ' αὐχένα πάντοθεν ἶνες καὶ πολιῷ περ ἐόντι, τὸ δὲ σθένος ἄξιον ἄβας· τυτθὸν δ' ὅσσον ἄπωθεν ἁλιτρύτοιο γέροντος πυρναίαις σταφυλαῖσι καλὸν βέβριθεν ἀλωὰ, καλὴ, χρυσείη· μέλανες δ' ἀνὰ βότρυές εἰσιν, ἔτεροι θ' ὑποπερκάζουσι· κάμαξι δὲ πᾶσα διαμπερὲς ἀργυρέῃσιν ἵσταται, τὰν

ὀλίγος τις κῶρος ἐφ' αἱμασιαῖσι φυλάσσει ἥμενος. Ἔνθα μὲν νειὸς μαλακὴ, πίειρα ἄρουρα, εὐρεῖα τρίπολος, ἔνθα δὲ τέμενος βαθυλήϊον, ἔνθα δ' ἁπαλὴν πίνοντες ἀεξιφύτου δρόσον Ἠοῦς λειμῶνες ἄνθεσι δαιδάλλοντες γελόωσιν, ἀνοιγομένοιο ῥόδοιο. Ὀρνίθων δὲ πετεηνῶν ἔθνεα πολλὰ χηνῶν, ἢ γεράνων, ἢ κύκνων δουλιχοδείρων, ἔνθα καὶ ἔνθα ποτῶνται ἀγαλλόμενα πτερύγεσι, κλαγγηδὸν προκαθιζόντων· σμαραγεῖ δέ τε λειμών. Τῇ δ' ἄρ' ἄνθεα κορύμβοις ἀποπνείουσιν, ὑάκινθος δὲ καὶ νάρκισσος καὶ ἀνεμῶναι ἐπιτέρπονται γαίῃ κυανέην χλοερὴν στεψαμένῃ ποίην· ἐκεῖ δ' ἁ πίτυς ποτὶ ταῖς παγαῖσι μελίσδεται, καὶ τὸ καταχὲς ὕδωρ ὑψόθεν ἀπὸ τᾶς πέτρας καταλείβεται ἀφρῷ μορμύρον, καναχηδὰ ῥέον· ἤδη δὲ πλώουσιν ἐπ' εὐρέα κύματα ναῦται πνοιῇ ἀπημάντῳ Ζεφύρου λίνα κολπώσαντες, ἐμπρήθει δ' ἄνεμος μέσον ἱστίον, ἀμφὶ δὲ κῦμα στείρῃ πορφύρεον κορθύεται μεγάλ' ἰάχον, νηὸς ἰούσης· πλωτῆρες δὲ νηῶν ἅλὸς ῥηγμῖνα βαθεῖαν τύπτουσι κώπῃσιν οὔ πη σχάζοντες ταύτας. Οὐ μὴν ἀλλὰ καὶ κουφονόων φῦλον ὀρνίθων καὶ θρεμμάτων ἀγέλαι σκιρτῶσι μὲν ἐπὶ ζείδωρον ἄρουραν, ἄκρον δ' ἐπ' ἀνθερίκων καρπὸν θέουσιν, οὐδὲ κατακλῶσι. Μινύρεται μὲν ἀηδὼν ἁ λίγεια θαμίζουσα μάλιστα χλωραῖς ὑπὸ βάσσαις τὸν οἰνῶπα νέμουσα κισσὸν καὶ τὰν ἄβατον τοῦ Θεοῦ φυλλάδα μυριόκαρπον, ἀνήλιον, ἀνήνεμόν τε πάντων χειμώνων· ὁ δὲ ταὼς τὴν σιγαλόεσσαν οὐρὰν ἀνίσχει λαμπρὰν τῆς Ἰριδος ὄψιν ἐπιδεικνύς· αἰετός τε κάρτιστος καὶ ὤκιστος πετεηνῶν ἁπάντων ὑπερίπταται ἐξέα κλάζων, εἴ που ὄϊν ἴδοι, τέττιξ δ' ἀπαθὴς καὶ φίλυμνος, ἀναιμόσαρκός τ', ἐπὶ δενδρέων ἥμενος τερετίζει λιγαίως· τῷ γὰρ καὶ λιγυρὴν ὤπασεν οἵμην Φοῖβος ἀγήτωρ μελέων· κατὰ δὲ σταθμὸν ποιμνήϊον ἠλάσκουσιν ἔθνεα πολλὰ μυιάων ἀδινάων· γλάγος γὰρ ἄγγεα δεύει. Ἔργα δὲ τεχνήεντα βοηγενέεσι μελίσσαις καλὰ μέλει· τῶν δ' ἔθνεα εἶσι πέτρης ἐκ γλαφυρῆς αἰεὶ νέον ἐρχόμενα· βοτρυδὸν δὲ πέτονται ἐπ' ἄνθεσιν εἰαρινοῖσιν· αἱ μέν τ' ἔνθα ἅλις πεποτήαται, αἱ δέ τε ἔνθα· ἄλλαι δὲ σίμβλῳ ἐφήμεναι τιθαιβώσσουσι· τῶν δ' ἔργα λευκὰ πολυτρήτοιο νεόρρυτα κάλλεα κηροῦ πέλονται· ἐν δὲ κηρῆνες κόθουροι μελισσάων κάματον τρύχουσιν ἔσθοντες. Εὐλαὶ δὲ καὶ σκολόπενδραι καὶ σκνῖπες καὶ ἴουλοι, τά τοι γαίῃ ἐγγεγάασι, κύρμα τε καὶ ἕλωρ οἰωνοῖσί τε πᾶσι καὶ τοῖς λοιποῖς πετεηνοῖς γίγνονται. Πάντας δ' ἀνὰ κναμὼς, ἀνὰ πᾶν τε νάπος δένδρεα μὲν ὑψίκομα πρὸς οὐρανὸν

SISMANOGLIO

εὐρὺν ἱκάνει, φυτὰ δὲ θαλέθοντα μετὰ πνοιὰς ἠμύει ἀνέμοιο, θῆρές τε δασύμαλλοι χλούνης, σῦς, κάπρος καὶ μονιὸς καὶ σύαγρος καὶ λὶς ἠϋγένειος, ὑπέρφρονι θυμῷ ἀνέχοντες κάρα καὶ κύδεϊ γαίοντες εἶσι, γαστέρος εἵνεκα λυγρῆς, εἴ που βρωτὺν εὕροιεν· ἀμφὶ δ' αἰθὴρ λαμπρότατος πέλει, οὐδὲ Βορέης αἰψηροκέλευθος ἔνεστιν· ἀφ' ἅλὸς δ' ἠέλιος νῦν ἀφυσσάμενος ὕδωρ καταπνεῖ χώραν μετρίας ἀνέμων αὔρας. Νῦν ὧν ἀγέλαι βοῶν ὀρθοκραιράων καὶ ἀργεννῶν ὀΐων ἐπισσεύονται νομόνδε πὰρ ποταμὸν κελάδοντα, παρὰ ῥοδανὸν δονακῆα, πολλοὶ δέ σφι κύνες πόδας ἀργοὶ ἔπονται· ἵπποι τε θέουσι πεδίοιο κροαίνοντες, εἰωθότες εὐρρεῖος ποταμοῖο λεύεσθαι· ὑψοῦ δὲ κάρη ἔχουσιν, ἀμφί τε χαῖται ὤμοις ἀΐσσονται· πρόβατα δ' αὖτε πρηνῆ καὶ γαστέρι ὑπείκοντα νέμεται, τά τε δύσσοα μοσχία τᾶς ἐλαίας τὸν θαλλὸν τρώγοντι καὶ ὁ κνάκων κυρίττει· ἀρνία δ' ἔνθ' ἀμαλὰ ταῖς μητράσι κίουσι, λευκή τ' ὀπίσω ἐξ ἀώτου αἴγλη λείπεται· ἀνὴρ δ' ἐπακτὴρ καὶ θηρατὴς καὶ παράκτης ἄγραν ἔρχεται, κύνες τε δρομικοὶ, ὑλακόμωροι, ἰχνάτορες ἔπονται. Τοῖσι δὲ καὶ πᾶσι ποιμὴν ἥμενος σύριγγι λιγείᾳ τέρπεται μὲν αὐτὸς, τέρπει δὲ καὶ ὄϊας.

ΙΔ'.

ΕΠΙΔΟΡΠΙΟΝ.

ΜΕΤΑΜΟΡΦΩΣΕΙΣ ΠΛΑΚΟΥΝΤΙΟΥ.

Εὑρισκόμεθα ἐν κομψῷ θαλαμίσκῳ ἐρατεινῆς κόρης, ἡδυπαθῶς ἐξηπλωμένης ἐπὶ κλιντῆρος καὶ μετὰ μακαριότητος ἀπορροφώσης τὰς πρωϊνὰς ἀκτῖνας ἡλίου ἐαρινοῦ.— Ὄχι· ἀκροᾶται καὶ τοῦ παρακαθημένου νεανίου, ὅτε αἴφνης τὸν διακόπτει ἰδιοτρόπως.

«Εἰξεύρεις, ἀγαπητέ μου, τί ἰδέα μὲ ἔρχεται; Ἂν ἔχῃς εὐχαρίστησιν . . . ἐννοεῖς· ἂν ἔχῃς εὐχαρίστησιν . . . ἐξερχόμεθα πεζῇ καὶ ἀπὸ τὸ βουλεβάρτον Βωμαρσαὶ πηγαίνομεν ἕως εἰς τὴν ὁδὸν Μαγδαληνὴν καὶ γευματίζομεν εἰς μικρὸν ξενοδοχεῖον τῆς συνοικίας ἐκείνης, ὅπου δηλαδὴ νὰ μὴ ἦνε πολὺ ἀκριβά. Αἴ; τί λέγεις;

— Εὐχαρίστως, ψυχή μου.

— Αἴ; βλέπεις τί καλὴ εἶμ' ἐγώ; Δὲν θὰ εἰπῇς βέβαια ὅτι σὲ ἀφανίζω εἰς τὰ ἔξοδα. — Ἄ! ἀληθινά... ἂν θέλῃς νὰ μ' εὐχαριστήσῃς ἀκόμη περισσότερον... θὰ μ' ἀγοράσῃς καὶ κἄτι τι, τὸ ὁποῖον ἐπιθυμῶ πολὺν τώρα καιρόν... ὦ! ναί, ναί, πολὺν καιρόν!»

Ὁ νεανίας μας ἠσθάνθη ὡσεὶ νυγμόν τινα ἐν τῇ καρδίᾳ, ἀλλὰ περιωρίσθη μόνον νὰ ψιθυρίσῃ:

«Ἄ! βέβαια, βέβαια· πάλιν κἄτι τι τοῦ ἀέρος· κἀμμία φαντασία σου πάλιν!

— Ὦ! νὰ εἴξευρες πόσον κόπον μοῦ προξενεῖ αὐτός σου ὁ λόγος! καὶ νὰ μὲ πειράζῃς κατ' αὐτὸν τὸν τρόπον ὁπόταν ἀκριβῶς σὲ λέγω καὶ σ' ἐξαναλέγω ὅτι δὲν θέλω νὰ σὲ βάλω εἰς ἔξοδα! Καλὰ, καλὰ, κύριε· θὰ εὐχαριστήσω τὴν ἰδιοτροπίαν μου αὐτὴν, τὴν φαντασίαν μου καθὼς τὴν εἶπες, ἐξοδεύουσα ἐκ τοῦ ἰδίου μου βαλαντίου... Τί ἄνθρωπος! ἐνόμισες ὅτι θὰ καταστραφῇς μ' ἕνα τόσῳ μικρὸν πρᾶγμα, φιλάργυρε!

— Αἴ, καλὰ, Μαρία μου, μὴ θυμώνῃς· ἔλα, λέγε μου τί πρᾶγμα εἶνε αὐτὸ τὸ ὁποῖον ἐπιθυμεῖς.

— Φαντάσου, φίλτατέ μου, ἐπὶ τρία τώρα ἔτη, ὁσάκις διέρχομαι ἔμπροσθεν τοῦ περιφήμου ζαχαροπλαστείου τῆς ὁδοῦ τῆς Δύσεως, μὲ ἔρχεται σφοδρὰ ἐπιθυμία νὰ ἀγοράσω ἓν πλακούντιον τῶν πέντε λεπτῶν... ἀλλὰ δὲν τολμῶ, διότι, ἐννοεῖς, μία γυνὴ, μόνη καὶ καλοφορεμένη... θὰ μὲ νομίσῃ κἀνεὶς ὡς πεινασμένην, ὡσὰν νὰ ἐξώδευσα ὅ,τι εἶχα καὶ δὲν εἶχα εἰς στολίδια καὶ δὲν μ' ἔμεινε τίποτε διὰ νὰ φάγω. Ὅταν περάσωμεν λοιπὸν ἀπὸ αὐτὸ τὸ ζαχαροπλαστεῖον, πηγαίνεις μόνος σου καὶ μοῦ παίρνεις ἓν πλακούντιον, τὸ ὁποῖον εἰμπορῶ νὰ βάλω καὶ εἰς τὸ θυλάκιόν μου.»

Ἐννοεῖται ὅτι βαθὺς στεναγμὸς ἀνακουφίσεως καὶ εὐαρεσκείας ἐξῆλθε τοῦ στήθους τοῦ ἐραστοῦ ὁπότε ἤκουσε τὴν τόσῳ μετρίαν ἀπαίτησιν τῆς Μαρίας του.

SISMANOGLIO

Ἀμέσως τὸ ἐπανωφόριόν της, καὶ ἐξέρχονται εἰς τὴν ὁδόν. Συνάπτεται δὲ τότε ὁ ἑξῆς διάλογος μεταξύ των:

«Ξεύρεις ὅτι μοῦ ἐκακοφάνη πολὺ πρὸ ὀλίγου, νὰ μ' ἐπιπλήττῃς ὅτι τάχα κάμνω ἔξοδα τοῦ ἀέρος; Καὶ νὰ καταβάλλω τόσας καθ' ἑκάστην προσπαθείας ἡ πτωχή, ὥστε νὰ μὴ σὲ βάλω εἰς μάταια ἔξοδα!... Καὶ εἶδες ἄλλην ἐρωμένην, μὲ τόσην εὐχαρίστησιν νὰ πηγαίνῃ πεζῇ διὰ νὰ φάγῃ ἓν ζυμαρικὸν τῶν πέντε λεπτῶν; Εἶνε ὅμως καὶ ἡ ἀλήθεια ὅτι μ' ἀρέσκει ἡ ζωὴ αὐτή, διότι, τὴν παραμικρὰν ἐὰν εἶχα ἐπιθυμίαν πολυτελείας, ἠδυνάμην ἁπλούστατα νὰ ἀκούσω τὰς προτάσεις τοῦ βαρώνου Τοστέ... Ἄ! ἰδοὺ γενναιόδωρος ἄνθρωπος!... Ἔλα, μὴ κάμνῃς τὸν ζηλότυπον· σὲ εἶπα καὶ ἄλλοτε ὅτι δὲν τὸν ὑποφέρω διόλου.»

Καὶ προσθέτει περιχαρὴς, σχεδὸν χοροπηδῶσα: «Τρὰ λὰ λὰ, ὤ! πόσον εὐτυχὴς εἶμαι μὲ τὸ πλακούντιόν μου τὸ 'φθηνὸ, ζεστὸ, ζεστό!

— Γνωρίζεις σὺ, Μαρία μου, ὅτι εἶμαι ἱκανὸς νὰ σ' ἀγοράσω καὶ ἑκατὸν πλακούντια, ἐὰν τὰ ἐζήτεις... Μόνον θὰ μ' ἐπιτρέψῃς νὰ σὲ κάμω τὴν παρατήρησιν, ὅτι εἰς τὸ γεῦμα δὲν θὰ σοῦ μείνῃ πλέον ὄρεξις μὲ αὐτὸ τὸ ζυμαρικόν.

— Ἔχεις δίκαιον· δὲν τὸ ἐσυλλογίσθην. Ἄ! διὰ νὰ σ' ἀποδείξω τώρα πόσον οἰκονόμος εἶμαι, νὰ, παραιτοῦμαι σήμερον τὸ πλακούντιον, διότι θὰ ἦτο τρέλλα πραγματικῶς νὰ ἐξοδεύσωμεν ὕστερον δώδεκα ἢ δεκαπέντε φράγκα διὰ νὰ βλέπωμεν μόνον τὰ πινάκιά μας καὶ νὰ μὴ τρώγωμεν. Ἀλλ' ἀφ' οὗ ἐμποδίζω νὰ ἐξοδευθοῦν τὰ δεκαπέντε αὐτὰ φράγκα χωρὶς ὄφελος, πρὸς ἀνταμοιβήν μου θὰ μοῦ πάρῃς μίαν τεϊέραν ἐκ πορσελάνης, ἀξίας ἑνὸς φράγκου. Αἴ; εἶδες τί οἰκονόμος εἶμαι; Πιστεύω ὅτι αὐτὸ πλέον τὸ πρᾶγμα εἶνε ἀπὸ τὰ χρησιμώτατα!

— Δὲν σοῦ λέγω· ἀλλὰ δὲν ἑτοιμάζεται τὸ τεΐ καὶ μέσα εἰς τὴν καφετιέραν; Δὲν ἐννοῶ ὅτι ἐναντιοῦμαι· σοὶ τὸ λέγω ἁπλῶς... εἶμαι ὅμως πρόθυμος νὰ σ' εὐχαριστήσω.

— Καλὲ, καὶ τῷ ὄντι! εἶδες, εἶδες! ἀφ' οὗ καὶ μὲ τὴν καφετιέραν τελειόνει ἡ ἐργασία, τὸ ἄλλο μὲ εἶνε περιττόν. Ἤγουν, φίλτατε Λέον, ἡ ἰδέα σου ἦτο πολὺ καλή· μάλιστα καὶ τίς ἡ ἀνάγκη νὰ ἐξοδευθῶμεν ἀδίκως εἰς τοιαῦτα πράγματα, ὅταν ἔχω τόσα ἄλλα χρήσιμα ν' ἀγοράσω... ἕνα ζευγάρι μπότταις λόγου χάριν!

— Μὲ τὰ σωστά σου; ἔχεις παραπάνω ἀπὸ εἴκοσι ζευγάρια!

— Ναὶ, ἀλλὰ μοῦ λείπει τὸ τριανταφυλλὶ χρῶμα... Εἶδα νὰ πωλοῦν πολὺ εὔμορφα πρὸς δεκαπέντε φράγκα... Εἶνε ἀληθινὸν ὅτι πρέπει τότε νὰ ἦνε καὶ ὅλη ἡ ἐνδυμασία εἰς τὸ ἴδιον χρῶμα... ἀλλ' αἱ μπότταις ἀρκοῦν διὰ τὸ σχέδιόν μου.

— Τί σχέδιον; ἐρωτᾷ μετά τινος ἀνησυχίας ὁ Λέων.

— Θὰ σὲ τὸ εἰπῶ· ἀλλὰ κύτταξε μὴ ζηλοτυπήσῃς ἀκόμη, σὲ παρακαλῶ... Ἄ! θέλω νὰ κάμω νὰ σκάσῃ ὁ βαρῶνος Τοστὲ ἀπὸ τὸ κακόν του. Μὲ τὸ νὰ ἔχῃ τάχα μεγάλην περιουσίαν, φαντάζεται ὅτι εἶνε ἱκανὸς νὰ θριαμβεύσῃ εἰς κάθε πρᾶγμα. Νά· προχθὲς ἀκόμη, ὅταν ἤκουσε νὰ τὸν λέγω ὅτι τὸ τριανταφυλλὶ χρῶμα μοῦ πηγαίνει καλὰ, ἤρχισε νὰ μὲ κάμνῃ προσφοράς... ἕνα σωρόν... καὶ τότε νὰ ἤσουν ἀπὸ ἕνα μέρος καὶ νὰ ἤκουες μὲ τί τρόπον περιφρονητικὸν μ' ὡμίλει διὰ σέ... «ὁ Λέων σου» καὶ «ὁ Λέων σου»... ὡσὰν νὰ ἐπρόκειτο διὰ κἀνένα ψωρίτην, 'ποῦ δὲν ἔχει τοὺς τρόπους νὰ μὲ προσφέρῃ ἓν φόρεμα μεταξωτὸν τριανταφυλλί... λεπτότατον... ὄχι μεγάλης ἀξίας... ἴσα μὲ ἑξῆντα φράγκα. Τότε κ' ἐγὼ, διὰ νὰ τὸν ταπεινώσω, ἔβαλα κατὰ νοῦν, εἰς τὴν πρώτην του ἐπίσκεψιν, νὰ τὸν ὑποδεχθῶ μὲ τὸν κοιτωνίτην μου (robe de chambre) καὶ μὲ τὰ τριανταφυλλιὰ μποτινάκια μου, καὶ νὰ τὸν εἰπῶ: «Ἄ! κρῖμα, βαρῶνε! ἂν ἤρχεσθε πέντε λεπτὰ ἐνωρίτερα, θὰ ἐβεβαιόνεσθε ὅτι τὸ τριανταφυλλὶ χρῶμα μοῦ πηγαίνει θαυμάσια· ἤμην ἐνδεδυμένη· ἄ! νὰ, ἀκόμη φορῶ ταὶς μπότταις μου.» Καὶ κατ' αὐτὸν τὸν τρόπον, θὰ ἐπίστευε ὅτι μοῦ ἠγόρασες καὶ τὸ φόρεμα.»

Ὁ Λέων κυριεύεται ὑπὸ δυσθυμίας.

«Ἄ, δά! Εἰξεύρεις ὅτι καταντᾷ ἀνυπόφορος ὁ βαρῶνός σου αὐτός! οὔτε ζήτουλας νὰ ἦμην, δὲν θὰ ἐφέρετο χειρότερα. Δόξα τῷ Θεῷ, εἶμαι εἰς θέσιν νὰ σὲ δώσω τρία λουδοβίκεια διὰ ν' ἀγοράσῃς τὸ φόρεμά σου αὐτὸ τὸ τριανταφυλλί.

— Αἴ, καὶ μήπως ἐπιμένω ἐγὼ καὶ καλὰ νὰ ἀγοράσω τὸ φόρεμα αὐτό; Πά! τότε ἴσα ἴσα θὰ ἔλεγες ὅτι ἀγοράζω «τοῦ ἀέρος πράγματα», νὰ ῥίψω δηλαδὴ τρία λουδοβίκεια δι' ἓν φόρεμα, τὸ ὁποῖον δὲν ζῇ περισσότερον ἀπὸ τρεῖς ἡμέρας καὶ ξεθωρίζει, μόνον νὰ τὸ ἰδῇ ἅπαξ ὁ ἥλιος... Ὦ! ὄχι, ἐγὼ ἔχω πολὺ πρακτικωτέρας ἰδέας... Ἐὰν ἠγόραζα φόρεμα, θὰ τὸ ἤθελα νὰ ἦνε παντοτεινόν... διὰ κάθε καιρ-

ρόν... στερεώτερον... ἀπὸ ἀτλάζι τῆς Λυὼν λόγου χάριν... τέλος πάντων ἓν φόρεμα τεσσάρων λουδοβικείων.

— Πῶς; μόνον τεσσάρων λουδοβικείων; ἀτλάζι τῆς Λυών; φθάνουν;

— Καὶ βέβαια... δηλαδὴ μὲ τὰ τρία ἄλλα λουδοβίκεια, τὰ ὁποῖα μὲ χρεωστεῖς διὰ τὸ τριανταφυλλὶ φόρεμα... Ἄ! τότε δὰ μὲ τὰ ὅλα του θὰ δαιμονισθῇ ὁ βαρῶνός μας βλέπων ὅτι δὲν περιμένω πλέον ἀπὸ τὰ χρήματά του διὰ νὰ ἐνδυθῶ!

— Καὶ θὰ τῷ ἀποδείξω ἐγὼ ὅτι πραγματικῶς δὲν περιμένεις! ἀνακράζει ὁ Λέων... Ἄκουσον· ἅμα φθάσωμεν εἰς τὸ πρῶτον κατάστημα νεωτερισμῶν, ἔχεις τὸ φόρεμά σου.

— Ἰδοὺ ἴσα ἴσα ἐπλησιάσαμεν εἰς τὸ καλλίτερον τοῦ εἴδους αὐτοῦ.»

Μετὰ μικρὸν οἱ δύο ἐρασταὶ ἦσαν ἔμπροσθεν τοῦ καταστήματος καὶ ἐξήταζον τὰς διαφόρους ἐσθῆτας τὰς ἐκτεθειμένας ὄπισθεν τοῦ ὑελώματος. Αἴφνης ἡ Μαρία ἀποστρέφει τὸ πρόσωπον μεθ' ὁρμῆς ἀπὸ τοῦ θεάματος καὶ σύρουσα τὸν νεανίαν ἐξακολουθεῖ τὴν ὁδοιπορίαν χωρὶς νὰ εἴπῃ λέξιν.

«Τί ἔπαθες δά, φιλτάτη;

— Ἐγώ; ἀποκρίνεται στενάξασα ἡ νεᾶνις. Τίποτε.

— Ἔλα, ἔλα, θὰ ἔχεις κάτι τι. Πρὸ μικροῦ ἀκόμη ἐζήτεις νὰ ἐκλέξῃς φόρεμα, καὶ τώρα...

— Νὰ σὲ τὸ εἰπῶ; λέγει ἡ Μαρία μετὰ περιλύπου ἤθους. Ἄκουσε λοιπόν. Εἶχε πέσει τὸ βλέμμα μου εἰς ἐκεῖνο... ἀριστερᾷ... ὅταν πλησίον του εἶδα τὸ ὄνειρον ὅλης μου τῆς ζωῆς... ἄχ! τὸ ὄνειρόν μου, τὸ ὄνειρόν μου!

— Αἴ, τί;

— Ὄχι, ὄχι, δὲν εἶνε τίποτε, δὲν θέλω νὰ σὲ παρακινήσω εἰς μίαν τρέλλαν. (Μετ' ἀναστεναγμοῦ.) Ἄχ! ὅταν μία γυνὴ θέλῃ νὰ ἀρέσῃ, καλλίτερον νὰ γεννηθῇ τυφλή... ἐκτὸς ἐὰν ἔχῃ τὸν ἀπέραντον πλοῦτον τοῦ βαρώνου Τοστέ.

— Ἄ! ξεύρεις ὅτι μὲ ἐζάλισες μὲ τὸν Τοστέ σου αὐτὸν, Μαρία! Καλλίτερον θὰ ἔκαμνες νὰ μοῦ εἰπῇς τί ἦτον ἐκεῖνο τὸ ὁποῖον σὲ ἐλύπησε πρὸ μικροῦ.

— Αἴ, ἀφ' οὗ τόσον ἐπιμένεις, σοὶ τὸ λέγω. Ἦτο ἓν φόρεμα... βελούδινον.

— Καὶ πῶς! δι' ἓν βελούδινον φόρεμα κάθεσαι τώρα καὶ κλαίεις καὶ θρηνεῖς, καὶ θυμιάζεις τὸν Τοστέ σου! Ὡσὰν τάχα αὐτὸς νὰ ἦτο Καλιφορνία, καὶ ἐγὼ, μὲ τριάντα χιλιάδας φράγκα εἰσόδημα, ἐπαίτης! Δὲν εἶπες ὅτι σ' ἀρέσει τὸ βελούδινον ἐκεῖνο φόρεμα;...

— Ναί; μοῦ τ' ἀγοράζεις; ἀληθινά;

— Ἔλα· ἂς ἐπιστρέψωμεν εἰς τὸ κατάστημα ἐκεῖνο.

— Ἄ! τότε ἂς ὑπάγωμεν εἰς τὸν ἄλλον δρόμον, εἰς τὸ ἄλλο βουλεβάρτον, διότι ἐκεῖ εἰξεύρω ἐγὼ ἓν ἄλλο κατάστημα καλλίτερα ἐφωδιασμένον. (Μετ' ἀγαλλιάσεως.) Ἄ! τί εὐτυχία! ποῖος ἄλλος εἰς τὸν κόσμον εἰμπορεῖ νὰ καυχηθῇ ὅτι κατέστησε τόσον εὐτυχῆ τὴν ἀγαπητήν του!... Ἀληθινὰ, εἰπέ μου... θὰ ταιριάζει καλὰ τὸ βελοῦδον μὲ τὸν στολισμὸν αὐτὸν τῆς κεφαλῆς μου; ὅσον καὶ νὰ εἰπῇς, οἱ γαγάται δὲν εἶνε ἀδάμαντες...

— Καλὲ, τί ἀδάμαντες καὶ γαγάται! τὸ βελοῦδον δίδει λαμπρότητα εἰς τὴν ἐπιδερμίδα καὶ...

— Καὶ εἰς τοὺς ἀδάμαντας. (Ρεμβάζουσα.) Ἄ! τοὺς ἀδάμαντας! ἰδοὺ τί δὲν θὰ ἀπολαύσω ποτέ μου ἡ πτωχή!

— Αἴ, τίς εἰξεύρει!

— Μάλιστα! τώρα πλέον! Πρὸ ὀκτὼ ἡμερῶν, νὰ, ἐδῶ εἰς τὸ χέρι μου εἶχα πέντε χιλιάδας φράγκα... ἔπρεπε μόνον ἓν ν α ὶ νὰ εἰπῶ... καὶ ἦσαν ἰδικά μου!

— Ὁ Τοστέ σου πάλιν;... Καὶ ἀπεποιήθης; αἴ; ἀπεποιήθης, ἀλήθεια;

— Ἐννοεῖται· ἀλλὰ νὰ εἴξευρες, φίλτατέ μου, πόσον ἦτο δελεαστικόν! διότι τέλος πάντων, διὰ μίαν γυναῖκα, οἱ ἀδάμαντες εἶνε πρᾶγμα αἰώνιον... Ἓν φόρεμα, ἔστω καὶ βελούδινον, δὲν σοῦ λέγω... εἶνε καλόν... ἀλλὰ παλαιόνει μίαν ἡμέραν... ἐν ᾧ οἱ ἀδάμαντες εἶνε πάντοτε μία περιουσία... Ἄχ! ἂς εἶχα ἀδάμαντας, καὶ θὰ εὐχαριστούμην νὰ φορῶ λινὸ φουστάνι!

— Οὕτω λοιπὸν, ἐρωτᾷ ἀνήσυχος ὁ Λέων, χάριν μερικῶν ἐλεεινῶν ἀδαμάντων εἶσαι ἱκανὴ νὰ μ' ἐγκαταλείψῃς;

— Αἴ, τώρα, καὶ σύ! τὸ μέλλον κάθεσαι κ' ἐξετάζεις! Μήπως,

ἐὰν μὲ ἠγάπας σπουδαίως, δὲν θὰ μ' ἐσυμβούλευες σὺ πρῶτος νὰ τὸ κάμω ;

— Μὲ πόσην ψυχρότητα καὶ ἀδιαφορίαν τὸ λέγεις αὐτό! Τόση ἦτον ἡ ἀγάπη σου λοιπόν;

— Ἄ! εἶσαι νόστιμος, μὰ τὸ ναί, μὲ τὰς ἐρωτήσεις σου. Ἔλα, ἔσο δίκαιος· σὺ βέβαια εἰμπορεῖς σήμερον ἢ αὔριον νὰ μὲ ἀφήσῃς... αἴ, ἐννοεῖς ὅτι κατ' αὐτὸν τὸν τρόπον μὲ διαφεύγει ἡ λαμπροτέρα εὐκαιρία διὰ νὰ ἐξασφαλίσω τὸ μέλλον μου, ἐν ᾧ, ἐὰν ἐδεχόμην τὰς προτάσεις ἑνὸς ἄλλου, ὅστις, πολὺ γενναιότερος, θὰ ἔχαιρε περισσότερα δικαιώματα εἰς τὴν ἀγάπην μου, τὴν πίστιν μου, τὴν εὐγνωμοσύνην μου. . .»

Ὁ Λέων κατέστη μανιώδης.

«Τὴν εὐγνωμοσύνην σου! Καλὰ, θὰ ἰδῶμεν!

— Πῶς; τί ἐννοεῖς, σὲ παρακαλῶ;

— Τώρα, ναί, τώρα πηγαίνομεν εἰς τοῦ κοσμηματοπώλου μου, καὶ ἐκλέγεις ὅ,τι σοὶ ἀρέσει.

— Ἄ! ἀναφωνεῖ ἡ νεᾶνις μετ' ἐνθουσιασμοῦ· εἶσαι θεῖος, θεῖος! Τοιαύτην ἐξαφνικὴν χαρὰν ἐγὼ δὲν τὴν ἐπερίμενα. Αἴ, τώρα πλέον ὁ βαρῶνος Τοστὲ θὰ μείνῃ ξερὸς ἅμα ἰδῇ τὸ περιδέραιόν μου. . . αὐτὸς, ὁ ὁποῖος μόνον σκουλαρίκια μ' ἔδιδεν, ὁ φιλάργυρος!

— Θὰ ἔχῃς καὶ περιδέραιον καὶ σκουλαρίκια... ὅ,τι θέλεις· ἀλλὰ πρὸς Θεοῦ! παῦσαι τέλος πάντων νὰ μ' ἀναφέρῃς αἰωνίως αὐτὸν σου τὸν βαρῶνον Τοστέ!»

Ὅτε ὁ κοσμηματοπώλης ἐξήπλωσεν ἐνώπιον τῆς νεάνιδος σωρὸν πολυτίμων λίθων καὶ στολιδίων, ἡ Μαρία ἐδράξατο κατὰ πρῶτον αὐτῶν μετὰ πυρετώδους ἀγαλλιάσεως, ἀλλ' αἴφνης ἐπραΰνθη καὶ ἔμεινε σύννους.

«Αἴ, λοιπὸν, Μαρία, τί ἔχεις; Πῶς! δὲν εὐχαριστεῖσαι πλέον ;

— Τῷ ὄντι.

— Ἐπιθυμεῖς τίποτε ἄλλο;

— Ναί.

— Τί πρᾶγμα;

— Ἐπιθυμῶ καλλίτερα νὰ μὲ νυμφευθῇς.»

Μὴ γελᾷς, ἀναγνῶστα. Μετά τινας ἡμέρας ὁ Λέων ἐνυμφεύετο

τὴν Μαρίαν, καθ' ἣν δὲ στιγμὴν ἐξήρχοντο τοῦ ναοῦ καὶ διέβαινον ἐκ τῆς ὁδοῦ τῆς Δύσεως, ἡ νεόνυμφος ἀνεφώνησε περιχαρῶς: .

«Ἀληθινά! εἰξεύρεις ὅτι, μὲ ὅλα αὐτὰ, δὲν μὲ ἠγόρασες ἀκόμη τὸ πλακούντιόν μου;»

(Ἐκ τῶν τοῦ Eug. Chavette.)

Γ. Δ. Φ.

ΙΞ'.

ΒΙΒΛΙΟΚΡΙΣΙΑ.

ΚΛΕΩΝΟΣ Ρ. ΡΑΓΚΑΒΗ

Ο ΚΑΘ' ΟΜΗΡΟΝ
ΟΙΚΙΑΚΟΣ ΒΙΟΣ

Ἐν Λειψίᾳ, ἐκ τῆς ἀνατολικῆς τυπογραφίας Γ. Δρουγουλίνου, 1883.
Σελ. I—XVI, 1—224.

Τοιοῦτον ἀφελὲς καὶ πλήρη ἀρχαϊκῆς ἁπλότητος τίτλον φέρει πόνημα νεώτατον, ὅπερ καὶ διὰ τὴν χάριν μεθ' ἧς ἐγράφη, καὶ διὰ τὴν σπουδαιότητα οὗπερ στοχάζεται σκοποῦ, καὶ διὰ τὴν κριτικὴν τῶν ἐν αὐτῷ ἐγκατεσπαρμένων παρατηρήσεων, θαρραλέως κρούει τὰς θύρας τῶν τε λογίων καὶ παντὸς ἰδιώτου Ἕλληνος, τούτου μὲν ἐπιθυμοῦντος νὰ ἐντρυφήσῃ εἰς ἄμοχθον καὶ τερπνὴν μελέτην ἐπὶ τοῦ οἰκιακοῦ βίου τῶν ὁμηρικῶν χρόνων, ἐκείνων δὲ ἐντριβέστερόν πως ἀγωνιζομένων νὰ ἐγκύψωσιν εἰς παρατηρήσεις, συγκρίσεις καὶ θεωρίας, αἵτινες κατέστησαν ἀπὸ πολλοῦ τὸ θέμα σπουδαίων μελετῶν, ἰδίως παρὰ Γερμανοῖς καὶ Ἄγγλοις ἀρχαιογράφοις.

Εἰς τὴν ὡραίαν ταύτην ἐργασίαν ἀνασκαφῆς τῶν παναρχαίων χρόνων, ὁ Κλέων Ρ. Ραγκαβῆς, ὅστις, καθάπερ καὶ ὁ κλεινὸς αὐτοῦ πατὴρ Ἀλέξ. Ρ. Ραγκαβῆς, καὶ ὁ ἐπίσης διαπρεπὴς ἐν σοφοῖς Πέτρος Βράϊλας Ἀρμένης, καὶ ὁ Νικόλαος Μαυροκορδάτος καὶ ἄλλοι, κλείζει τὴν Ἑλλάδα ἐν τῇ ἀλλοδαπῇ οὐ μόνον διπλωματικῶς, ἀλλὰ καὶ φιλολογικῶς, προέβη ἀφορμὴν λαβὼν ἐκ τοῦ πρὸ ἐτῶν προκηρυχθέντος Ροδοκανακείου φιλολογικοῦ διαγωνισμοῦ, περὶ τοῦ καθ' Ὅμηρον ἰδιωτικοῦ βίου, ὅτε ἐν Γερμανίᾳ τὰς διατριβὰς ποιούμενος καὶ «τῆς δάφνης πως γλιχόμενος (ὡς αὐτὸς χαριτολογῶν γράφει), οὐδ' ἀναμετρήσας ἴσως κατὰ τὸ δέον τὸ ὕψος τῶν κορυφῶν ἐφ' ὧν φύεται, ἠλείφθη πρὸς τὸν ἀγῶνα». Καὶ ἦν ὁ ἀγὼν οὐχὶ εὐχερὴς καὶ ὀλιγόμοχθος· μελέτην, καὶ μελέτην κολοσσιαίαν, ὤφειλε νὰ ἀναλάβῃ ἀνὰ μέσον ποικίλων, ἐκτεταμένων, διαφορογλώσσων πραγματειῶν, ἐξ ὧν οὐ μόνον ν' ἀποταμιεύσῃ ὅ,τι χρήσιμον καὶ συντελεστικὸν εἰς τὴν κατάρτισιν αὐτοτελοῦς καὶ ἠκριβολογημένης μελέτης, ἀλλὰ καὶ νὰ ἐξέλθῃ ἀβρόχοις ποσὶν ἐκ τῶν διασταυρουμένων ἀντιφάσεων καὶ παραλογισμῶν, τούτους μὲν ἐπανορθῶν, ἐκείνας δὲ συμβιβάζων διὰ κριτικῶν καὶ περιεσκεμμένων παρατηρήσεων, βασιζομένων ἐπὶ τῆς γνησιωτέρας ἀντιλήψεως τῶν ἐννοιῶν τοῦ γίγαντος ἀοιδοῦ. Δὲν εἶνε δὲ ἴσως πολὺ τολμηρὸν νὰ εἴπωμεν ὅτι ὁ συγγραφεὺς ἐξῆλθε νικηφόρος τοῦ ἀγῶνος· ἐὰν δὲ, κατὰ συνέπειαν διαφόρων περιπετειῶν, δὲν ἔσχε τὸ εὐτύχημα, οὐχὶ νὰ στεφανωθῇ, ἀλλὰ νὰ ὑποβληθῇ τὸ πόνημα αὐτοῦ εἰς τὸν προκηρυχθέντα φιλολογικὸν διαγωνισμὸν, ἡ ὑποδοχὴ ἧς ἤδη τυγχάνει προκύπτον εἰς φῶς εἶνε ὁ ἀγλαότερος τῶν στεφάνων καὶ ἡ λαμπροτέρα ἐκτίμησις τῶν ἀγώνων εἰς οὓς ὑπεβλήθη ὅπως παραθῇ ἡμῖν ὡς οἷόν τε πιστὴν εἰκόνα τοῦ καθ' Ὅμηρον οἰκιακοῦ ἢ ἰδιωτικοῦ βίου.

Οὕτω δὲ τὸ πόνημα τοῦ Κλέωνος Ρ. Ραγκαβῆ, πλούσιον ἀρχαιογνωσίας ταμεῖον, ἐπαναφέρον ἡμᾶς εἰς τοὺς μακαρίους ἐκείνους χρόνους τοῦ ἀγνοῦ πολιτισμοῦ καὶ τοῦ ἀφελοῦς βίου, παρατίθησιν ἐνώπιον ἡμῶν εἰς τέσσαρα χωριστὰ μέρη τὸν οἶκον μετὰ λεπτομερεστάτης περιγραφῆς τῶν δωμάτων, θαλάμων, θόλων, στοῶν, κοιτώνων, αὐλῶν, σκευῶν, ἀγγείων, κήπων·—τὴν οἰκογένειαν, μετὰ χαρακτηριστικῶν παρατηρήσεων περὶ τοῦ ἀνδρὸς, τῆς γυναικὸς, τοῦ ἔρωτος, τοῦ γάμου καὶ τῶν σχετικῶν τούτῳ, τῶν παίδων, τῶν δούλων·—τὴν τοῦ

σώματος θεραπείαν, ἤτοι τ' ἀφορῶντα τὰς ἐνδυμασίας ἀνδρῶν καὶ γυναικῶν, τὴν κόμην, τὰς χειρίδας, τὰ σανδάλια, τὰ γυναικεῖα ἀναδέσματα, ἔτι δὲ τὰ συμπόσια μετὰ τῶν σχετικῶν πληροφοριῶν περὶ ποτῶν, ἐδεσμάτων, σκευῶν καὶ ἀγγείων χρησίμων εἰς τὴν τράπεζαν, τὸ λουτρὸν μετὰ τῶν σχετικῶν αὐτῷ, ἤτοι τῆς χρίσεως τοῦ σώματος, νίψεως τῶν ποδῶν·—καὶ τελευταῖον, λεπτομερείας περὶ ἀσθενειῶν, πληγῶν, ἰατρῶν καὶ ἐθίμων ταφῆς καὶ πένθους ἐπὶ τελευτῇ.

Τοιοῦτο τὸ βιβλίον τοῦ Κλέωνος Ρ. Ραγκαβῆ ἐν ἀτελεῖ καὶ περιωρισμένῃ σκιαγραφίᾳ, ὅσην δύνανται νὰ ἐπιτρέψωσιν ἡμῖν τό τε μικρὸν τοῦ παραχωρηθέντος χώρου ὅπως γράψωμεν περὶ αὐτοῦ καὶ ἡ ταχεῖα καὶ συνοπτικὴ αὐτοῦ ἐπιθεώρησις. Μεθ' ὁπόσου δὲ ἐνθουσιασμοῦ καὶ εἰλικρινοῦς προθέσεως εἰργάσατο ὁ φιλότιμος συγγραφεύς, καταφαίνεται ἔκ τε τοῦ ἀπηκριβωμένου τῶν περιγραφῶν, ἃς διὰ πυκνοτάτων ἐνισχύει καὶ ζωογονεῖ μαρτυριῶν τοῦ ἀθανάτου ἀοιδοῦ, καὶ ἐκ τῆς ἰδιαζούσης εὐαισθησίας καὶ τοῦ φιλοσοφικοῦ πνεύματος μεθ' ὧν ἐγκύπτει εἰς τὴν μελέτην ἑνίων κεφαλαίων, ὡς μαργαρίτας δὲ ἀληθεῖς, μεθ' ὅλην τὴν δυσκολίαν τοῦ νὰ τοὺς χωρίσωμεν ἀπὸ τοῦ πλήθους τῶν μαργαριτῶν τῆς ὅλης συγγραφῆς, συνιστῶμεν τὰς ὡραίας σελίδας περὶ οἰκογενείας καὶ ἰδίᾳ τὰ περὶ γυναικὸς, ἔρωτος, φιλοστοργίας κεφάλαια.

Περιττὸν δὲ νὰ προσθέσωμεν εἰς τ' ἀνωτέρω ὅτι χάρις καὶ καλλιέπεια ὕφους κοσμοῦσιν ὁλόκληρον τὸ πόνημα τοῦ Κλέωνος Ρ. Ραγκαβῆ, γνωστοῦ ἄλλως τε ὡς ἑνὸς τῶν χαριεστέρων παρ' ἡμῖν λογογράφων. Σύγκειται δὲ τὸ βιβλίον ἐκ 240 περίπου σελίδων εἰς σχῆμα 8ον, ἐπὶ ἀρίστου χάρτου ἐκτετυπωμένον μετὰ πολλῆς φιλοκαλίας καὶ μετὰ τεσσάρων ὡραίων εἰκόνων καὶ συνιστᾶται ὡς κάλλιστον δῶρον τῆς ἀρχιετηρίδος καὶ κόσμος πάσης βιβλιοθήκης.

Γ. Α Ξ.

ΔΕΛΤΙΟΝ

ΤΗΣ ΙΣΤΟΡΙΚΗΣ ΚΑΙ ΕΘΝΟΛΟΓΙΚΗΣ ΕΤΑΙΡΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ.

Τόμος Α', τεύχη δύο, σελ. η', 376, μετὰ δέκα πινάκων· ἐν Ἀθήναις 1883.

Εἰς τὰς πυχὰς τὰς ἀλαμπεῖς τοῦ χρονικοῦ περιβολαίου τῆς ἡμετέρας ἱστορίας, φωτὸς ἀνέλαβεν ἀκτῖνας νὰ χύσῃ ἡ ἐν Ἀθήναις πρὸ

διετίας περίπου ἱδρυθεῖσα ἱστορικὴ καὶ ἐθνολογικὴ ἑταιρία, ἥτις ἐκδοῦσα δύο τοῦ περιοδικοῦ αὐτῆς τεύχη γνωριμώτερον κατέστησεν ἡμῖν τὸ μέγα ἔργον, ὅπερ ἀνέλαβεν· ἐκ τοῦ περιεχομένου τῶν δύο τευχῶν πολλῷ κάλλιον ἢ ἐκ τοῦ προλόγου, ὃν ὁ πρόεδρος αὐτῆς Τιμολέων Ι. Φιλήμων προτάττει, μανθάνομεν ὅτι σκοπὸς αὐτῆς ἐστιν ἡ τῆς μεσήλικος τοῦ γένους ἱστορίας ἔρευνα, αὐτὸς ἀκριβῶς ὁ σκοπός, ὃν ἐπιδιώκει ἡ παρ' ἡμῖν ἑταιρία τῶν μεσαιωνικῶν ἐρευνῶν. Ἑταιρία ἱστορικὴ καὶ ἐθνολογική, μουσεῖον καὶ ἀρχεῖον καταρτίζουσα, χρηματικῶς ὑποστηριζομένη, τὴν δημοσιογραφίαν κεκτημένη θαρραλέον καὶ προθυμότατον ἀντιλήπτορα, δέον νὰ εἴπωμεν ὅτι εὐοδούμενον ἕξει τὸν σκοπὸν καὶ τὸ μέλλον· ἀλλ' ἡ ὑλικὴ εὐμάρεια οὐδέν ἐστιν ἂν μὴ συμβαίνουσαν ἔχῃ τὴν ἠθικήν, χάρτης δ' ἄριστος καὶ καλοὶ πίνακες, καὶ φιλοκαλία καὶ κομψότης τυπογραφικὴ πιθανῶς καθιστῶσι βιβλίον τι ἄξιον νὰ κοσμῇ αἰθούσας ὑποδοχῶν, οὐχὶ δὲ βιβλιοθήκας σπουδαίων ἀνδρῶν. Ὅτε πρῶτον ἠκούσαμεν ὅτι ἡ ἱστορικὴ ἑταιρία ἐκδίδωσι μετ' οὐ πολὺ περιοδικὸν ἐμακαρίσαμεν ἑαυτοὺς, εὐδαίμονας δ' ἐκρίναμεν τοὺς ἀναγκαζομένους ἕνεκεν ἐλλείψεως ἰδίου περιοδικοῦ τὴν μεσήλικα φιλολογίαν καὶ ἱστορίαν πραγματευομένου «νὰ διασπείρωσι τὰς εἰς τοὺς χρόνους ἐκείνους ἀναφερομένας πραγματείας αὐτῶν εἰς διαφόρους περιοδικὰς συγγραφὰς ἐγχωρίους καὶ ξένας» καὶ ἐνομίσαμεν ὅτι μέγα ἐπιτελεσθήσεται ἔργον. Ὕλην ἄφθονον ἔχουσιν οἱ ἐν Ἀθήναις δύο ἢ τρεῖς μεσαιωνογράφοι, χειρόγραφα κομίζονται πρὸς αὐτοὺς ἀπὸ βορρᾶ τε καὶ δυσμῶν, βιβλιοθηκῶν ἀξίων λόγου πρὸς εὐκολίαν ἐν ταῖς μελέταις αὐτῶν εὐμοιροῦσιν· ἀλλ' ἀνέγνωμεν τὸ Δελτίον, ἠρευνήσαμεν αὐτὸ, καὶ τὰς σπουδαιοτάτας διατριβὰς τοῦ ἀκαμάτου Ν. Γ. Πολίτου ἐξαιροῦντες, αἵτινες μόναι τιμῶσι τὴν Ἑταιρίαν, εὕρομεν τὸ ἔργον αὐτῆς οὐχὶ πρὸς τὰς προσδοκίας ἡμῶν ἀνταποκρινόμενον. Τὰ ἔργα τοῦ Ν. Γ. Πολίτου ἔν τε τῷ Α' καὶ τῷ Β' τεύχει εἰσὶ τὸ τηλαυγὲς πρόσωπον ἀρχομένου τε καὶ μεσοῦντος ἔργου, διότι οὐδέποτ' ἀναμένει βεβαίως ἡ Ἑταιρία ἐγκώμια καὶ ἐπαίνους δι' ἔργα καὶ δημοσιεύσεις ἀνθρώπων, οὓς ἐπιστήμη καὶ παιδεία ἀληθὴς, οὐχὶ δ' ἀγυρτεύουσα καὶ περπερευομένη ἀπέδειξε πάσης γνώσεως γραφῶν καὶ ἀναγνώσεως γυμνούς, Ἀδὰμ κούφους, μηδὲ τὰ φύλλα ἔχοντας τῆς συκῆς, πρὸς κάλυψιν τῆς ἑαυτῶν γυμνότητος. Ἐκδόσεις τινὲς ἐγγράφων καὶ λόγων ἀνεκδότων γίνονται μόνον ὅπως

